eul_wid: feq-ab

*Εὔδοξος ὁ Κνίδιος* · Eudoxus of Cnidus

# Astronomical Phenomena Fragments

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (frg)
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

***F*R*A*G*M*E*N*T*A. ΦΑΙΝΟΜΕΝΑ.**

2-120t ΕΝΟΠΤΡΟΝ ΑΝΟΝ.

2 In Arati Phaenomena isag. p. 318 Maass Ὅτι Εὔδοξον τὴν Ἀσσυρίαν λέγουσι πρῶτον εἰς Ἑλλάδα κομίσαι σφαῖραν, ἣν δεῖ κρατεῖν τὸν ἐπιδεικνύντα τὰ φαινόμενα. ACHILL.

3a In Arat. Phaen. p. 79, 1 Maass Ἐπιτετευγμένως δὲ αὐτῷ (sc. Arato) ἐγράφη τὰ Φαινόμενα, ὡς παρευδοκιμηθῆναι πάντας ὑπ' Ἀράτου. Καὶ γὰρ Εὔδοξος ὁ Κνίδιος ἔγραψε Φαινόμενα καὶ Λᾶσος ὁ Μάγνης, οὐχὶ ὁ Ἑρμιονεύς, ἀλλ' ὁμώνυμος ἄλλος Λάσῳ τῷ Ἑρμιονεῖ, καὶ Ἕρμιππος καὶ Ἡγησιάναξ καὶ Ἀριστοφάνης ὁ Βυζάντιος (p. 282 Nauck) καὶ ἄλλοι πολλοί. SCHOL. [10]

3b IN BASIL. Περὶ γενέσεως (Cramer, Anecd. gr. Oxon. III 413) Οἱ περὶ Εὔδοξον καὶ Ἵππαρχον καὶ Διόδωρον τὸν Ἀλεξανδρέα μαθηματικοὶ πόλου σύνταξιν ἐπραγματεύσαντο καὶ Λᾶσος, οὐχ ὁ Ἑρμιονεύς, ἀλλ' ἕτερος. καὶ Ἐρατοσθένης ὁ γραμματικὸς καὶ Μέτων ὁ γεωμέτρης. HIPPARCH. [12]

4 In Arati et Eudoxi Phaenomena comm. I 2 1 Ὅτι μὲν οὖν τῇ Εὐδόξου περὶ τῶν φαινομένων ἀναγραφῇ κατηκολούθηκεν ὁ Ἄρατος, μάθοι μὲν ἄν τις διὰ πλειόνων παρατιθεὶς τοῖς ποιήμασιν αὐτοῦ περὶ ἑκάστου τῶν λεγομένων τὰς παρὰ τῷ Εὐδόξῳ λέξεις. Οὐκ ἄχρηστον δὲ καὶ νῦν δι' ὀλίγων ὑπομνῆσαι διὰ τὸ διστάζεσθαι τοῦτο παρὰ τοῖς πολλοῖς. 2 Ἀναφέρεται δὲ εἰς τὸν Εὔδοξον δύο βιβλία περὶ τῶν φαινομένων, σύμφωνα κατὰ πάντα σχεδὸν ἀλλήλοις πλὴν ὀλίγων σφόδρα. Τὸ μὲν οὖν ἓν αὐτῶν ἐπιγράφεται Ἔνοπτρον, τὸ δὲ ἕτερον Φαινόμεν α. Πρὸς τὰ Φαινόμενα δὲ τὴν ποίησιν συντέταχεν. — —I 1 8 Ἐμπειρότερον δὲ Εὔδοξος τὴν αὐτὴν τῷ Ἀράτῳ περὶ τῶν φαινομένων σύνταξιν ἀναγέγραφεν. [5]

5 Εὐλόγως οὖν καὶ ἐκ τῆς τῶν τοσούτων καὶ τηλικούτων μαθηματικῶν συμφωνίας ἀξιόπιστος ἡ ποίησις αὐτοῦ διαλαμβάνεται. Καίτοι γε τοῦ Ἀράτου μὲν ἴσως οὐκ ἄξιον ἐφάπτεσθαι, κἂν ἔν τισι διαπίπτων τυγχάνῃ· τῇ γὰρ Εὐδόξου συντάξει κατακολουθήσας τὰ Φαινόμενα γέγραφεν, ἀλλ' οὐ κατ' ἰδίαν παρατηρήσας ἢ μαθηματικὴν κρίσιν ἐπαγγελλόμενος ἐν τοῖς οὐρανίοις προφέρεσθαι καὶ διαμαρτάνων ἐν αὐτοῖς. ACHILL. [5]

6 In Arati Phaenomena comm. fragm. p. 77 Maass Ὃς (sc. Aratus) παρὰ τῷ βασιλεῖ (sc. Antigono Gonata) γενόμενος καὶ εὐδοκιμήσας ἔν τε τῇ ἄλλῃ πολυμαθείᾳ καὶ 〈τῇ〉 ποιητικῇ προετράπη ὑπ' αὐτοῦ τὰ Φαινόμενα γράψαι, τοῦ βασιλέως Εὐδόξου ἐπιγραφόμενον βιβλίον Κάτοπτρον

δόντος αὐτῷ καὶ ἀξιώσαντος τὰ ἐν αὐτῷ καταλογάδην λεχθέντα περὶ τῶν φαινομένων μέτρῳ ἐντεῖναι καὶ ἅμα εἰπόντος, ὡς «εὐδοξότερον ποιεῖς τὸν Εὔδοξον ἐντείνας τὰ παρ’ αὐτῷ κείμενα μέτρῳ.» Γέγονε δὲ Ἀντίγονος κατὰ τὴν ρκε′ Ὀλυμπιάδα, καθ’ ὃν χρόνον ἤκμασεν ὁ Ἄρατος καὶ Ἀλέξανδρος ὁ Αἰτωλός. Μέμνηται δὲ τοῦ Κατόπτρου Εὐδόξου καὶ Ἀντιγόνου 〈καὶ〉 Ἀλεξάνδρου τοῦ Αἰτωλοῦ καὶ ὡς ἠξιώθη ὑπὸ τοῦ βασιλέως γράψαι ἐν ταῖς ἰδίαις Ἐπιστολαῖς Ἄρατος. ANON. [10]

7 ARATI GENUS 3 p. 149 Maass Τὴν δὲ τῶν Φαινομένων ὑπόθεσιν παρέβαλεν αὐτῷ ὁ Ἀντίγονος δοὺς τὸ Εὐδόξου σύγγραμμα καὶ κελεύσας ἕπεσθαι αὐτῷ. Ὅθεν τινὲς τῶν ἁπαλωτέρως προσερχομένων ταῖς ἐξηγήσεσιν ἔδοξαν μὴ μαθηματικὸν εἶναι τὸν Ἄρατον· ὑπέλαβον γὰρ μηδὲν ἕτερον τῶν Εὐδόξου Φαινομένων ποιήσαντα αὐτὸν εἰς τὸ σύγγραμμα θεῖναι. Ταύτης δὲ τῆς γνώμης ἔχεται καὶ Ἵππαρχος ὁ Βιθυνός· ἐν γὰρ τοῖς Πρὸς Εὔδοξον καὶ Ἄρατον πειρᾶται τοῦτο ἀποδεικνύναι. Συναγορεύει δὲ αὐτῷ καὶ Διονύσιος ἐν τῷ Περὶ 〈... καὶ Ποσειδώνιος ἐν τῷ Περὶ〉 συγκρίσεως Ἀράτου καὶ Ὁμήρου περὶ τῶν μαθηματικῶ ν· «ὥσπερ γάρ, φησίν, οὐ τίθεμεν αὐτὸν ἰατρὸν εἶναι γράψαντα Ἰατρικὰς δυνάμεις, οὐδὲ μαθηματικὸν θήσομεν οὐδὲν ξένον εἰπόντα τῶν Εὐδόξου.» Βιάζονται δὲ οὐ μετρίως· ἦν γὰρ καὶ τὸ εἰδέναι μεταφράσαι ἐμπειρίας μαθηματικῆς. Εὑρήσομεν δὲ αὐτὸν καὶ ἐπιμελέστερον τὰ πλεῖστα τοῦ Εὐδόξου ἐπιστάμενον. LEONT. [10]

8 MECHAN. De sphaera Aratea I p. 257 Buhle Ἰστέον δὲ ὅτι τὰ περὶ τῶν ἄστρων τῷ Ἀράτῳ εἰρημένα οὐ πάνυ καλῶς εἴρηται, ὡς ἔστιν ἔκ τε τῶν Ἱππάρχῳ καὶ Πτολεμαίῳ συντεταγμένων περὶ τούτων μαθεῖν. Αἴτιον δὲ πρῶτον μὲν ἐπεὶ καὶ τὰ Εὐδόξου, οἷς μάλιστα ἠκολούθησεν ὁ Ἄρατος, οὐ λίαν ὀρθῶς εἴληπται, ἔπειτα δὲ ὅτι καὶ οὐ πρὸς τὸ ἀκριβές, ὥς φησι Σπόρος ὁ ὑπομνηματιστής, ἀλλὰ πρὸς τὸ χρήσιμον τοῖς ναυτιλλομένοις ταῦτα οὕτω διαγέγραπται εἰκότως τε ὁλοσχερέστερον περὶ τούτου διαλαμβάνει. Eodem e fonte, i. e. a Sporo, fluxisse videtur HERACLIT. Alleg. hom. p. 72 ed. Bonn. Διακριβολογησάμενος δ’ ὑπὲρ τῶν ὁλοσχερῶν ἀστέρων καὶ κατὰ μέρος ἐπιφανέστατα δεδήλωκεν· οὐ γὰρ ἠδύνατο πάντα θεολογεῖν, ὥσπερ Εὔδοξος ἢ Ἄρατος, Ἰλιάδα γράφειν ἀντὶ τῶν Φαινομένων ὑποστησάμενος ἑαυτῷ. HIPPARCH. [10]

9 ib. I 2 17 Χωρὶς δὲ τούτων (sc. locorum Eudoxi Aratique congruentium) καὶ ἡ διαίρεσις τῶν ἄστρων φανερὸν ποιεῖ τὸ προκείμενον. Καὶ γὰρ Εὔδοξος ὡς καὶ ὁ Ἄρατος πρῶτον ἀναγράφει τὰ βορειότερα ἄστρα τοῦ ζῳδιακοῦ, ἔπειθ’ οὕτως τὰ νοτιώτερα. Καὶ τὰς συνανατολάς τε καὶ συγκαταδύσεις τοῖς δώδεκα ζῳδίοις τῶν ἄλλων ἄστρων ὁμοίως τέταχεν ὁ Ἄρατος τῷ Εὐδόξῳ. ARAT. [5]

10 (n) Phaenom. 19—26 Οἱ μὲν ὁμῶς πολέες τε καὶ ἄλλυδις ἄλλοι ἐόντες οὐρανῷ ἕλκονται πάντ’ ἤματα συνεχὲς αἰεί· αὐτὰρ ὅγ’ οὐδ’ ὀλίγον μετανίσσεται, ἀλλὰ μάλ’ αὔτως ἄξων αἰὲν ἄρηρεν, ἔχει δ’ ἀτάλαντον ἁπάντη μεσσηγὺς γαῖαν, περὶ δ’ οὐρανὸς αὐτὸν ἀγινεῖ. Καί μιν πειραίνουσι δύω πόλοι ἀμφοτέρωθεν· ἀλλ’ ὁ μὲν οὐκ ἐπίοπτος, ὁ δ’ ἀντίος ἐκ βορέαο ὑψόθεν ὠκεανοῖο. HIPPARCH. [5]

11 ib. I 4 1 Περὶ μὲν οὖν τοῦ βορείου πόλου Εὔδοξος ἀγνοεῖ λέγων οὕτως· «Ἔστι δέ τις ἀστὴρ μένων ἀεὶ κατὰ τὸν αὐτὸν τόπον· οὗτος δὲ ὁ ἀστὴρ πόλος ἐστὶ τοῦ κόσμου.» ARAT.

13 (n) ib. 26—30, 36—37 Δύω δέ μιν ἀμφὶς ἔχουσαι Ἄρκτοι ἅμα τροχόωσι· τὸ δὴ καλέονται Ἅμαξαι. Αἱ δ’ ἤτοι κεφαλὰς μὲν ἐπ’ ἰξύας αἰὲν ἔχουσιν ἀλλήλων, αἰεὶ δὲ κατωμάδιαι φορέονται, ἔμπαλιν εἰς ὤμους τετραμμέναι ... — — — — — — — — — — — — — Καὶ τὴν μὲν Κυνόσουραν ἐπίκλησιν καλέουσιν, τὴν δ’ ἑτέρην Ἑλίκη ν. VITRUV. [5]

14

Eulogikon public reading copy · View original HTML at eulogikon.org

De archit. IX 4 5 In septentrionali vero circulo duae positae sunt Arctoe 〈e regione〉 scapularum dorsis inter se compositae et pectoribus aversae. E quibus minor Κυνόσουρα, maior Ἑλίκη a Graecis appellatur. Earumque capita inter se dispicientia sunt constituta, caudae capitibus earum adversae contra dispositae figurantur; utrarumque enim superando eminent in summo. HIPPARCH. [5]

15 ib. I 2 3 Ἐν δὴ τούτῳ τῷ συντάγματι (sc. Φαινομ.) Εὔδοξος περὶ μὲν τοῦ Δράκοντος οὕτως γράφει· «Μεταξὺ δὲ τῶν Ἄρκτων ἐστὶν ἡ τοῦ Ὄφεως οὐρά, τὸν ἄκρον ἀστέρα ὑπὲρ τῆς κεφαλῆς ἔχουσα τῆς Μεγάλης Ἄρκτου. Καμπὴν δὲ ἔχει παρὰ τὴν κεφαλὴν τῆς Μικρᾶς Ἄρκτου καὶ παρατέταται ὑπὸ τοὺς πόδας· ἑτέραν δὲ καμπὴν ἐνταῦθα ποιησάμενος πάλιν ἀνανεύων ἔμπροσθεν ἔχει τὴν κεφαλήν.» — —I 4 7 Περὶ δὲ τῆς θέσεως τῆς τοῦ Δράκοντος κεφαλῆς οἱ μὲν περὶ τὸν Εὔδοξον καὶ Ἄρατον συμφώνως ἀποφαίνονται τῷ φαινομένῳ, ὁ δὲ Ἄτταλος (fr. [5]

16 V Maass) διαφώνως. Ὁ μὲν γὰρ Ἄρατος ἀκολουθῶν τῷ Εὐδόξῳ ἐπὶ τοῦ ἀεὶ φανεροῦ κύκλου φησὶν αὐτὴν φέρεσθαι λέγων οὕτως· (61—62) «Κείνη που κεφαλὴ τῇ νίσσεται, ἧχί περ ἄκραι μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν.» — —I 2 6 Ἐπὶ δὲ τοῦ Ἐνγόνασιν ὁ μὲν Εὔδοξός φησι· «Παρὰ δὲ τὴν κεφαλὴν τοῦ Ὄφεως ὁ Ἐνγόνασίν ἐστιν, ὑπὲρ τῆς κεφαλῆς τὸν δεξιὸν πόδα ἔχων. [5]

17 » — —I 2 7 Τὸν δὲ Στέφανον ὁ μὲν Εὔδοξός φησιν ὑπὸ τὸν νῶτον τοῦ Ἐνγόνασι κεῖσθαι.

19 — —I 2 7 Περὶ ὧν (sc. de Ingeniculato et Anguitenente) καὶ ὁ Εὔδοξός φησι· «Πλησίον δ' ἐστὶ τῆς τούτου κεφαλῆς ἡ τοῦ Ὀφιούχου κεφαλή.» ARAT.

20 (n) ib. 82—83 Ἀμφότεραι (sc. χεῖρες) δ' Ὄφιος πεπονείαται, ὅς ῥά τε μέσσον δινεύει Ὀφιοῦχο ν. HIPPARCH. [1]

22 ib. I 4 15 Οὐδὲ ὁ Εὔδοξος δὲ διασαφεῖ, ὅτι ἐστὶν ὀρθός (sc. Anguitenens)· τὸν γὰρ δεξιὸν πόδα αὐτοῦ ὑπὲρ τὸ σῶμα κεῖσθαί φησι τοῦ Σκορπίου, ὡς καὶ ἔχει τῇ ἀληθείᾳ, καὶ οὐκ ἐπὶ τοῦ στήθους. ARAT.

23 (n) ib. 83—89 Ὁ δ' ἐμμενὲς εὖ ἐπαρηρὼς ποσσὶν ἐπιθλίβει μέγα θηρίον ἀμφοτέροισιν, Σκορπίον, ὀφθαλμοῖς τε καὶ ἐν θώρηκι βεβηκὼς ὀρθός. Ἀτάρ οἱ Ὄφις γε δύο στρέφεται μετὰ χερσίν, δεξιτερῇ ὀλίγος, σκαιῇ γε μὲν ὑψόθι πολλός. Καὶ δή οἱ Στεφάνῳ παρακέκλιται ἄκρα γένεια· νειόθι δὲ σπείρης μεγάλας ἐπιμαίεο Χηλά ς. HIPPARCH. [5]

24 ib. I 2 5 Περὶ δὲ τοῦ Βοώτου ὁ μὲν Εὔδοξός φησιν· «Ὄπισθεν δὲ τῆς Μεγάλης Ἄρκτου ἐστὶν ὁ Ἀρκτοφύλα ξ.» — —I 2 5 Καὶ πάλιν ὁ μὲν Εὔδοξος· «Ὑπὸ δὲ τοὺς πόδας ἡ Παρθένος ἐστίν.

25 » ARAT.

26 (n) ib. 97 Παρθένον, ἥ ῥ' ἐν χειρὶ φέρει Στάχυν αἰγλήεντα. VITRUV. [1]

27 ib. IX 4 1 Ab eo ( sc. a Custode) non longe conformata est Virgo, cuius supra umerum dextrum lucidissima stella nititur, quam nostri Provindemiatorem, Graeci Προτρυγητήν vocant; candens autem magis Spica eius est colorata . HIPPARCH.

28 ib. I 2 8 1 , I 5 1 2 , I 5 5 3 Περὶ δὲ τῆς θέσεως τῆς Μεγάλης Ἄρκτου ὁ μὲν Εὔδοξός φησιν· «Ὑπὸ δὲ τὴν κεφαλὴν τῆς Μεγάλης Ἄρκτου οἱ Δίδυμοι κεῖνται, κατὰ μέσον δὲ ὁ Καρκίνος, ὑπὸ δὲ τοὺς ὀπισθίους πόδας ὁ Λέω ν. Πρὸ δὲ τῶν ἐμπροσθίων ποδῶν τῆς Ἄρκτου ἀστήρ ἐστι λαμπρός, λαμπρότερος δὲ ὑπὸ τὰ ὀπίσθια γόνατα, καὶ ἄλλος ὑπὸ τοὺς ὀπισθίους πόδας.» — —I 2 10 Ἐπὶ δὲ τοῦ Ἡνιόχου ὁ μὲν Εὔδοξός φησι· «Κατέναντι δὲ τῆς κεφαλῆς τῆς Μεγάλης Ἄρκτου ὁ Ἡνίοχος ἔχει τοὺς ὤμους λοξὸς ὢν ὑπὲρ τοὺς πόδας τῶν Διδύμων, ἔχων τὸν δεξιὸν πόδα κοινὸν τῷ ἐν ἄκρῳ τῷ ἀριστερῷ κέρατι τοῦ Ταύρο υ. [5]

29 » ARAT.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

30 (n) ib. 162—168 Σκαιῷ δ’ ἐπελήλαται ὤμῳ Αἲξ ἱερή, τὴν μέν τε λόγος Διὶ μαζὸν ἐπισχεῖν· Ὠλενίην δέ μιν Αἶγα Διὸς καλέους’ ὑποφῆται. Ἀλλ’ ἡ μὲν πολλή τε καὶ ἀγλαή· οἱ δέ οἱ αὐτοῦ λεπτὰ φαείνονται Ἔριφοι καρπὸν κάτα χειρός. Πὰρ ποσὶ δ’ Ἡνιόχου κεραὸν πεπτηότα Ταῦρον μαίεσθαι. ARAT. [5]

32 (n) ib. 172—174 Καὶ λίην κείνων ὄνομ’ εἴρεται, οὐδέ τοι αὔτως νήκουστοι Ὑάδε ς· ταὶ μέν ῥ’ ἐπὶ παντὶ μετώπῳ Ταύρου βεβλέαται. HIPPARCH. [1]

33 ib. I 2 11 Ἐπὶ δὲ τοῦ Κηφέως ὁ μὲν Εὔδοξος οὕτως· «Ὑπὸ δὲ τὴν οὐρὰν τῆς Μικρᾶς Ἄρκτου τοὺς πόδας ὁ Κηφεὺς ἔχει πρὸς ἄκραν τὴν οὐρὰν τρίγωνον ἰσόπλευρον ποιοῦντας· τὸ δὲ μέσον αὐτοῦ πρὸς τῇ καμπῇ τοῦ διὰ τῶν Ἄρκτων Ὄφεως.» — —I 2 13 Πάλιν ἐπὶ τῆς Κασσιεπείας ὁ μὲν Εὔδοξος· «Τοῦ μὲν Κηφέως ἔμπροσθέν ἐστιν ἡ Κασσιέπεια, ταύτης δὲ ἔμπροσθεν ἡ Ἀνδρομέδα, τὸν μὲν ἀριστερὸν ὦμον ἔχουσα τῶν Ἰχθύων ὑπὲρ τοῦ πρὸς βορρᾶν, τὴν δὲ ζώνην ὑπὲρ τοῦ Κριο ῦ, πλὴν τὸ Τρίγωνον, ὅ ἐστι μεταξύ· τὸν δ’ ἐν τῇ κεφαλῇ ἀστέρα κοινὸν ἔχει τῷ τῆς κοιλίας τοῦ Ἵππο υ. [5]

34 » — —I 2 15 Ἐπὶ δὲ τοῦ Περσέως ὁ μὲν Εὔδοξος οὕτως λέγει· «Παρὰ δὲ τοὺς πόδας τῆς Ἀνδρομέδας ὁ Περσεὺς ἔχει τοὺς ὤμους, τὴν δεξιὰν χεῖρα πρὸς τὴν Κασσιέπειαν ἀποτείνων, τὸ δὲ ἀριστερὸν γόνυ πρὸς τὰς Πλειάδα ς. [5]

35 » ΦΑΙΝΟΜΕΝΑ — —I 6 1 Πάλιν δὲ παρὰ τῷ Εὐδόξῳ ἀναστρέφεται διημαρτημένως περὶ τῆς κεφαλῆς τῆς Μεγάλης Ἄρκτου ἐν μὲν τῷ ἑνὶ συντάγματι, ὃ ἐπιγράφεται Φαινόμενα, τὸν τρόπον τοῦτον· «Ὑπὸ δὲ τὸν Περσέα καὶ τὴν Κασσιέπειαν οὐ πολὺ διέχουσά ἐστιν ἡ κεφαλὴ τῆς Μεγάλης Ἄρκτου· οἱ δὲ μεταξὺ τούτων ἀστέρες εἰσὶν ἀμαυροί. [10]

36 » ΕΝΟΠΤΡΟΝ Ἐν δὲ τῷ ἐπιγραφομένῳ Ἐνόπτρῳ οὕτως· «Ὄπισθεν δὲ τοῦ Περσέως καὶ παρὰ τὰ ἰσχία τῆς Κασσιεπείας οὐ πολὺ διαλείπουσα ἡ κεφαλὴ τῆς Μεγάλης Ἄρκτου κεῖται· οἱ δὲ μεταξὺ ἀστέρες εἰσὶν ἀμαυροί. [5]

37 » ARAT.

38 (n) ib. 268—269 Καὶ Χέλυς ἤδ’ ὀλίγη. Τὴν ἆρ’ ἔτι καὶ παρὰ λίκνῳ Ἑρμείης ἐτόρησε, Λύρην δέ μιν εἶπε λέγεσθαι. HIPPARCH. [1]

39 ib. I 2 16 Ἐπὶ δὲ τοῦ Ὄρνιθος ὁ μὲν Εὔδοξος· «Παρὰ δὲ τὴν δεξιὰν χεῖρα τοῦ Κηφέως ἡ δεξιὰ πτέρυξ ἐστὶ τοῦ Ὄρνιθος, παρὰ δὲ τὴν ἀριστερὰν πτέρυγα οἱ πόδες τοῦ Ἵππο υ.» ARAT. [5]

40 (n) ib. 282—286 Τὸν δὲ μετὰ σκαίροντα δύ’ Ἰχθύες ἀμφινέμονται Ἵππον· πάρ δ’ ἄρα οἱ κεφαλῇ χεὶρ Ὑδροχόοιο δεξιτερὴ τάνυται. Ὁ δ’ ὀπίστερος Αἰγοκερῆος τέλλεται· αὐτὰρ ὅγε πρότερος καὶ νειόθι μᾶλλον κέκλιται Αἰγόκερω ς. — —305—306 Ἤτοι γὰρ μέγα τόξον ἀνέλκεται ἐγγύθι κέντρου Τοξευτή ς. [1]

42 (n) — —311—317 Ἔστι δέ τοι προτέρω βεβλημένος ἄλλος Ὀϊστὸς αὐτὸς ἄτερ τόξου· ὁ δέ οἱ παραπέπταται Ὄρνις ἀσσότερον βορέω. Σχεδόθεν δέ οἱ ἄλλος ἄηται οὐ τόσσος μεγέθει, χαλεπός γε μὲν ἐξ ἁλὸς ἐλθεῖν νυκτὸς ἀπερχομένης· καί μιν καλέουσιν Ἀητό ν . Δελφὶς δ’ οὐ μάλα πολλὸς ἐπιτρέχει Αἰγοκερῆϊ μεσσόθεν ἠερόεις . — —319—323 Καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο μεσσηγὺς κέχυται· τὰ δὲ νειόθι τέλλεται ἄλλα πολλὰ μεταξὺ νότοιο καὶ ἠελίοιο κελεύθου. [1]

43 (n) Λοξὸς μὲν Ταύροιο τομῇ ὑποκέκλιται αὐτὸς Ὠρίω ν . ARAT. [5]

45 (n) ib. 326—327 Τοῖός οἱ καὶ φρουρὸς ἀειρομένῳ ὑπὸ νώτῳ φαίνεται ἀμφοτέροισι Κύων ἐπὶ ποσσὶ βεβηκώς . ARAT. [1]

47 (n) ib. 338—339 Ποσσὶν δ’ Ὠρίωνος ὑπ’ ἀμφοτέροισι Λαγωὸς ἐμμενὲς ἤματα πάντα διώκεται. — —342—343, 351—352 Ἡ δὲ Κυνὸς μεγάλοιο κατ’ οὐρὴν ἕλκεται Ἀργὼ πρυμνόθεν. [1]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

48 (n) — — — — — — — — — — — — — — — — — — — Καί οἱ πηδάλιον κεχαλασμένον ἐστήρικται ποσσὶν ὕπ’ οὐραίοισι Κυνὸς προπάροιθεν ἰόντος . ARAT. [2]

50 (n) ib. 357—358 Κῆτος, ὑπὸ Κριῷ τε καὶ Ἰχθύσιν ἀμφοτέροισιν, βαιὸν ὑπὲρ Ποταμοῦ βεβλημένον . VITRUV. [1]

51 ib. IX 5 3 Aricti et Piscibus Cetus est subiectus, a cuius crista ordinate utrisque Piscibus disposita est tenuis fusio stellarum quae graece vocitantur Ἁρπεδόναι, magnoque intervallo introrsus pressus Nodus serpentium attingit summam Ceti cristam . ΦΑΙΝΟΜΕΝΑ HIPPARCH.

52 ib. I 8 6 Καὶ Εὔδοξος δέ, ὡς ἡμεῖς φαμεν, οὕτω λέγει, ἐν μὲν τῷ ἑνὶ συντάγματι τὸν τρόπον τοῦτον· «Ὑπὸ δὲ τὸ Κῆτος ὁ Ποταμὸς κεῖται, ἀρξάμενος ἀπὸ τοῦ ἀριστεροῦ ποδὸς τοῦ Ὠρίωνος· μεταξὺ δὲ τοῦ Ποταμοῦ καὶ τοῦ πηδαλίου τῆς Ἀργοῦς, ὑπὸ τὸν Λαγωόν, τόπος ἐστὶν οὐ πολύς, ἀμαυροὺς ἀστέρας ἔχων.» ΕΝΟΠΤΡΟΝ Ἐν δὲ τῷ ἑτέρῳ συντάγματί φησιν οὕτως· «Μεταξὺ δὲ τοῦ 〈Ποταμοῦ καὶ τοῦ〉 τῆς Ἀργοῦς πηδαλίου, ὑπὸ τὸν Λαγωόν, ἀμαυροὺς ἀστέρας ἔχων, ἐστὶν οὐρανὸς οὐ μέγας. [5]

53 » ARAT.

54 (n) ib. 386—394, 399 Νειόθι δ’ Αἰγοκερῆος, ὑπὸ πνοιῇσι νότοιο, Ἰχθῦς ἐς Κῆτος τετραμμένος αἰωρεῖται οἶος ἀπὸ προτέρων, Νότιον δέ ἑ κικλήσκουσιν. Ἄλλοι δὲ σποράδην ὑποκείμενοι Ὑδροχοῆϊ Κήτεος αἰθερίοιο καὶ Ἰχθύος ἠερέθονται μέσσοι νωχελέες καὶ ἀνώνυμοι· ἐγγύθι δέ σφεων, δεξιτερῆς ἀπὸ χειρὸς ἀγαυοῦ Ὑδροχόοιο, οἵη τίς τ’ ὀλίγη χύσις ὕδατος ἔνθα καὶ ἔνθα σκιδναμένου, χαροποὶ καὶ ἀναλδέες εἱλίσσονται. — — — — — — — — — — — — — — — — — τοὺς πάντας καλέουσιν Ὕδω ρ . — —402—403 Αὐτὰρ ὑπ’ αἰθομένῳ κέντρῳ τέραος μεγάλοιο Σκορπίου, ἄγχι νότοιο, Θυτήριον αἰωρεῖται . [1]

57 (n) — —436—442 Δήεις δ’ ἄστρον ἐκεῖνο (sc. Centauru m) δύω ὑποκείμενον ἄλλοις· τοῦ γάρ τοι τὰ μὲν ἀνδρὶ ἐοικότα νειόθι κεῖται Σκορπίου, ἱππούραια δ’ ὑπὸ σφίσι Χηλαὶ ἔχουσιν. Αὐτὰρ ὁ δεξιτερὴν αἰεὶ τανύοντι ἔοικεν ἀντία δινωτοῖο Θυτηρίου. Ἐν δέ οἱ ἀπρὶξ ἄλλο μάλ’ ἐσφήκωται ἐληλαμένον διὰ χειρὸς Θηρίο ν· ὣς γάρ μιν πρότεροι ἐπεφημίξαντο . ARAT. [5]

59 (n) ib. 443—450 Ἀλλ’ ἔτι γάρ τι καὶ ἄλλο περαιόθεν ἕλκεται ἄστρον· Ὕδρην μιν καλέουσι· τὸ δὲ ζώοντι ἐοικὸς ἠνεκὲς εἱλεῖται, καί οἱ κεφαλὴ ὑπὸ μέσσον Καρκίνον ἱκνεῖται, σπείρη δ’ ὑπὸ σῶμα Λέοντος· οὐρὴ δὲ κρέμαται ὑπὲρ αὐτοῦ Κενταύροιο. Μέσσῃ δὲ σπείρῃ Κρητήρ, πυμάτῃ δ’ ἐπίκειται εἴδωλον Κόρακος σπείρην κόπτοντι ἐοικός. Ναὶ μὴν καὶ Προκύων Διδύμοις ὕπο καλὰ φαείνει . ΦΑΙΝΟΜΕΝΑ ARAT. [5]

62 (n) ib. 467—468 Αὐτοὶ (sc. circuli) δ’ ἀπλατέες καὶ ἀρηρότες ἀλλήλοισιν πάντες· ἀτὰρ μέτρῳ γε δύω δυσὶν ἀντιφέρονται. ΕΝΟΠΤΡΟΝ ATTAL. [2]

63a fr. 20 Maass ap. HIPPARCH. ib. I 9 1 Ὁ Ἄτταλός φησι βέλτιον εἶναι «αὐτοὶ δὲ πλατέες». «Καὶ γὰρ οἱ ἀστρολόγοι, φησί, πλατεῖς ὑποτίθενται τούς τε τροπικοὺς καὶ τὸν ἰσημερινὸν καὶ τὸν ζῳδιακὸν διὰ τὸ τὸν ἥλιον τὰς τροπὰς μὴ ἀεὶ ἐπὶ τοῦ αὐτοῦ κύκλου ποιεῖσθαι, ἀλλὰ ποτὲ μὲν νοτιώτερον, ποτὲ δὲ βορειότερον.» — —I 9 2 Καὶ ὅτι γίνεται τοῦτο, καὶ Εὔδοξός φησι. [5]

63b Λέγει γοῦν ἐν τῷ Ἐνόπτρῳ οὕτως· «Φαίνεται δὲ διαφορὰν τῶν κατὰ τὰς τροπὰς τόπων καὶ ὁ ἥλιος ποιούμενος, ἀδηλοτέραν δὲ πολλῷ καὶ παντελῶς ὀλίγην.» HIPPARCH. [5]

64a I 11 1 Χωρὶς δὲ τῶν εἰρημένων τριῶν κύκλων ὁ Εὔδοξος καὶ τοὺς ἐπὶ τοῦ ἀρκτικοῦ κύκλου κειμένους ἀστέρας διασαφεῖ. Καί φησιν ἐπ’ αὐτοῦ κεῖσθαι τόν τε ἀριστερὸν ὦμον τοῦ Ἀρκτοφύλακος, καὶ τὰ ἄνωθεν τοῦ Στεφάνου, καὶ τὴν κεφαλὴν τοῦ διὰ τῶν Ἄρκτων Ὄφεως, τῆς δὲ Λύρας καὶ τῆς δεξιᾶς πτέρυγος τοῦ Ὄρνιθος τὰ ἄνωθεν, τοῦ δὲ Κηφέως τὸ στῆθος, τῆς δὲ Κασσιεπείας τὰ ἄνωθεν· εἶτα ὑπὸ τοὺς ἐμπροσθίους πόδας τῆς Μεγάλης Ἄρκτου 〈αὐτὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φέρεσθαι μεταξὺ τῆς Ἄρκτου〉 καὶ τοῦ Λέοντος ἄχρι πρὸς τὸν ὦμον τοῦ Ἀρκτοφύλακος. — —I 11 5 Εὐλόγως οὖν φησι τὸν ἀεὶ φανερὸν φέρεσθαι μεταξὺ τῆς Ἄρκτου καὶ τοῦ Λέοντος.

65 — —II 1 20 Ὅτι δὲ Εὔδοξος τὰ τροπικὰ σημεῖα κατὰ μέσα τὰ ζῴδια τίθησι, δῆλον ποιεῖ διὰ τούτων· «Δεύτερος δέ ἐστι κύκλος, ἐν ᾧ 〈αἱ〉 θεριναὶ τροπαὶ γίνονται· ἔστι δ' ἐν τούτῳ τὰ μέσα τοῦ Καρκίνου.» — —I 2 18 Περὶ δὲ τῶν ἀστέρων τῶν ἐπὶ τοῦ θερινοῦ καὶ χειμερινοῦ τροπικοῦ φερομένων, ἔτι δὲ ἐπὶ τοῦ ἰσημερινοῦ, ὁ μὲν Εὔδοξός φησιν ἐπὶ τοῦ θερινοῦ οὕτως· «Ἔστι δ' ἐν τούτῳ τὰ μέσα τοῦ Καρκίνου καὶ τὰ διὰ τοῦ σώματος κατὰ μῆκος τοῦ Λέοντος, τῆς δὲ Παρθένου 〈τὰ〉 μικρὸν ἄνωθεν, καὶ ὁ αὐχὴν τοῦ ἐχομένου Ὄφεως, καὶ ἡ δεξιὰ χεὶρ τοῦ Ἐνγόνασι, καὶ ἡ κεφαλὴ τοῦ Ὀφιούχου, καὶ ὁ αὐχὴν τοῦ Ὄρνιθος καὶ ἡ ἀριστερὰ πτέρυξ, καὶ οἱ τοῦ Ἵππου πόδες, ἔτι δὲ καὶ ἡ δεξιὰ χεὶρ τῆς Ἀνδρομέδας καὶ τὸ μεταξὺ τῶν ποδῶν, καὶ τοῦ Περσέως ὁ ἀριστερὸς ὦμος καὶ ἡ ἀριστερὰ κνήμη, ἔτι δὲ τὰ γόνατα τοῦ Ἡνιόχου καὶ αἱ κεφαλαὶ τῶν Διδύμων· εἶτα συμπίπτει πρὸς τὰ μέσα τοῦ Καρκίνου.

66 » ΦΑΙΝΟΜΕΝΑ — —I 3 9 Προεκθέμενος γὰρ (sc.

67 ATTALUS) τὰ ἐπὶ τοῦ θερινοῦ τροπικοῦ ποιήματα (sc. ARAT. 497—499), ἐπιφέρει ταυτί (fr. 21 Maass)· «Διὰ δὲ τούτου φανερὸν ποιεῖ, διότι τὴν ὅλην πραγματείαν ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις πεποίηται· παρ' ἐκείνοις γάρ ἐστιν ἡ μακροτάτη ἡμέρα πρὸς τὴν μικροτάτην νύκτα ὡς τὰ ε′ πρὸς τὰ γ′.» 10 Ἔτι δὲ μᾶλλον θαυμάσειεν ἄν τις, πῶς ποτε οὐκ ἐπέστησε τοῦ Εὐδόξου ἐν τῷ ἑτέρῳ συντάγματι διαφόρως ἐκθεμένου καὶ γράφοντος, ὅτι τὸ ὑπὲρ γῆν τοῦ τροπικοῦ τμῆμα πρὸς τὸ ὑπὸ γῆν λόγον ἔχει, ὃν τὰ ιβ′ πρὸς τὰ ζ′, ὁμοίως δὲ τούτῳ καὶ τῶν περὶ Φίλιππον ἀναγραφόντων καὶ ἄλλων πλειόνων, πλὴν ἐπισυντετάχασι μὲν τὰς συνανατολάς τε καὶ συγκαταδύσεις τῶν ἄστρων ὡς ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις τετηρημένων, κατὰ δὲ τὸ ἔγκλιμα τῶν τόπων τούτων διημαρτήκασι. ΕΝΟΠΤΡΟΝ — —I 2 22 Χωρὶς δὲ τούτων καὶ τὸ 〈αὐτὸ〉 κλίμα τοῦ κόσμου τῷ Εὐδόξῳ ὑποτίθεται ὁ Ἄρατος.

68 Καὶ γὰρ ὁ Εὔδοξος ἐν τῷ ἐπιγραφομένῳ Ἐνόπτρῳ τὸν τροπικὸν τέμνεσθαί φησιν οὕτως, ὥστε λόγον ἔχειν τὰ τμήματα πρὸς ἄλληλα τὸν αὐτόν, οἷον ἔχει τὰ ε′ πρὸς τὰ γ′. — —II 1 20 Καὶ πάλιν φησί· «Τρίτος δ' ἐστὶ κύκλος, ἐν ᾧ αἱ ἰσημερίαι γίνονται· ἔστι δ' ἐν τούτῳ τά τε τοῦ Κριοῦ μέσα καὶ τὰ τῶν Χηλῶν.

69 » ARAT.

70 (n) ib. 515—524 Σῆμα δέ οἱ Κριὸς Ταύροιό τε γούνατα κεῖται, Κριὸς μὲν κατὰ μῆκος ἐληλαμένος διὰ κύκλου Ταύρου δὲ σκελέων ὅσση περιφαίνεται ὀκλάς. Ἐν δέ τέ οἱ ζώνη εὐφεγγέος Ὠρίωνος καμπή τ' αἰθομένης Ὕδρης· ἐνί οἱ καὶ ἐλαφρὸς Κρητήρ, ἐν δὲ Κόραξ, ἐνὶ δ' ἀστέρες οὐ μάλα πολλοὶ Χηλάων· ἐν τῷ δ' Ὀφιούχεα γοῦνα φορεῖται. Οὐ μὴν Αἰητοῦ ἀπαμείρεται, ἀλλά οἱ ἐγγὺς Ζηνὸς ἀητεῖται μέγας ἄγγελος. Ἡ δὲ κατ' αὐτὸν Ἱππείη κεφαλὴ καὶ ὑπαύχενον εἱλίσσονται. HIPPARCH.

71 ib. I 10 22 Ὁ δὲ Εὔδοξος τὰ μὲν ἄλλα ὁμοίως εἴρηκε. Τῶν δὲ Χηλῶν τὰ μέσα φησὶν ἐπὶ τοῦ ἰσημερινοῦ κεῖσθαι, τοῦ τ' Ἀετοῦ τὴν ἀριστερὰν πτέρυγα, τοῦ δὲ Ἵππου καὶ τὴν ὀσφύν, καὶ ἔτι τῶν Ἰχθύων τὸν βορειότερον αὐτῶν. — —II 1 20 «Τέταρτος δέ, ἐν ᾧ 〈αἱ〉 χειμεριναὶ τροπαὶ γίνονται· ἔστι δ' ἐν τούτῳ τὰ μέσα τοῦ Αἰγόκερω.

72 » — —I 2 20 Ἐπὶ δὲ τοῦ χειμερινοῦ τροπικοῦ ὁ μὲν Εὔδοξός φησιν οὕτως· «Ἔστι δ' ἐν αὐτῷ τὰ μέσα τοῦ Αἰγόκερω, καὶ οἱ πόδες τοῦ Ὑδροχόου, καὶ τοῦ Κήτους ἡ οὐρά, καὶ τοῦ Ποταμοῦ ἡ καμπή, καὶ ὁ Λαγωός, καὶ τοῦ Κυνὸς οἱ πόδες καὶ ἡ οὐρά, καὶ τῆς Ἀργοῦς ἡ πρύμνα καὶ ὁ ἱστός, καὶ τοῦ Κενταύρου ὁ νῶτος καὶ τὰ στήθη, καὶ τὸ Θηρίον, καὶ τοῦ Σκορπίου τὸ κέντρον· εἶτα διὰ τοῦ Τοξότου πρὸς τὰ μέσα τοῦ Αἰγόκερω συνάπτει.

73

Eulogikon public reading copy · View original HTML at eulogikon.org

» — —I 11 6 Ἐπὶ δὲ τοῦ ἀεὶ ἀφανοῦς κύκλου τὰ μὲν ἐπ’ αὐτοῦ φερόμενα ἄστρα οὐχ ὁρᾶται· «Ἐγγυτάτω δέ, φησίν, αὐτοῦ ἐστι τοῦ τε ὕδατος τοῦ Ποταμοῦ τὰ ἄκρα καὶ τῆς Ἀργοῦς τὸ ἔδαφος καὶ τὸ πηδάλιον· εἶτα τὸ Θηρίον καὶ τὸ Θυμιατήριον· ἔτι δὲ τοῦ Τοξότου τὰ δεξιὰ σκέλη.

74 Ὁ δὲ ἐξ Αἰγύπτου ὁρώμενος ἀστήρ ἐστιν ἐν αὐτῷ.» .

75a .. τὴν γὰρ Εὐδόξου σκοπὴν οὐ πολὺ τῶν οἰκήσεων ὑψηλοτέραν εἶναι, λέγεσθαι δ’ ὅτι ἐντεῦθεν ἐκεῖνος ἀφεώρα τὸν Κάνωβον ἀστέρα, εἶναι δ’ ἐπὶ τοῦ Ῥοδιακοῦ κλίματος τὴν Κνίδον, ἐφ’ οὗ καὶ τὰ Γάδειρα καὶ ἡ ταύτῃ παραλία. ADRAST.

75b ap. THEON. SMYRN. Expos. rer. math. p. 121 Hiller Καθάπερ καὶ ὁ Κάνωβος λεγόμενος ἀστήρ, τοῖς βορειοτέροις τῆς Κνίδου μέρεσιν ἀφανὴς ὤν, τοῖς νοτιωτέροις ταύτης ἤδη φανερὸς γίνεται καὶ ἐπιπλέον ἀεὶ τοῖς μᾶλλον. — —II 1 21 Ἐκφανέστερον δ’ ἔτι διὰ τούτων ἀποδίδωσι· περὶ γὰρ τῶν κολούρων λεγομένων κύκλων, οἳ γράφονται διά τε τῶν πόλων καὶ διὰ τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων, φησὶν οὕτως· «Ἕτεροι δ’ εἰσὶ δύο κύκλοι, τέμνοντες ἀλλήλους δίχα καὶ πρὸς ὀρθάς, διὰ τῶν πόλων τοῦ κόσμου.

76 Ἔστι δ’ ἐν τούτοις ἄστρα τάδε· πρῶτος ὁ πόλος ὁ ἀεὶ φανερὸς τοῦ κόσμου, εἶτα τὸ μέσον τῆς Ἄρκτου κατὰ πλάτος καὶ τοῦ Καρκίνου τὸ μέσον.» Καὶ μετ’ ὀλίγον φησίν· «Ἥ τε οὐρὰ τοῦ νοτίου Ἰχθύος καὶ τὸ μέσον τοῦ Αἰγόκερω.» — —I 11 9 Πάλιν δὲ ὁ Εὔδοξος διασαφεῖ καὶ τοὺς ἐπὶ τῶν κολούρων λεγομένων κύκλων κειμένους ἀστέρας καί φησιν ἐπὶ μὲν τοῦ ἑνὸς αὐτῶν κεῖσθαι τὸ μέσον τῆς Μεγάλης Ἄρκτου, καὶ τοῦ Καρκίνου τὸ μέσον, καὶ τὸν αὐχένα τοῦ Ὕδρου, καὶ τῆς Ἀργοῦς τὸ μεταξὺ τῆς τε πρύμνης καὶ τοῦ ἱστοῦ· 10 εἶτα μετὰ τὸν ἀφανῆ πόλον τὴν οὐρὰν τοῦ νοτίου Ἰχθύος, καὶ τὸ μέσον τοῦ Αἰγόκερω, καὶ τὸ μέσον τοῦ Ὀϊστοῦ· τοῦ δὲ Ὄρνιθος διὰ τοῦ αὐχένος καὶ τῆς δεξιᾶς πτέρυγος καὶ διὰ τῆς ἀριστερᾶς χειρὸς τοῦ Κηφέως γράφεσθαι αὐτόν, καὶ διὰ τῆς καμπῆς τοῦ Ὄφεως, καὶ παρὰ τὴν οὐρὰν τῆς Μικρᾶς Ἄρκτου.

78 — —I 11 17 Ἐν δὲ τῷ ἑτέρῳ κολούρῳ φησὶ κεῖσθαι πρῶτον μὲν τὴν ἀριστερὰν χεῖρα τοῦ Ἀρκτοφύλακος καὶ 〈τὰ〉 μέσα αὐτοῦ κατὰ μῆκος· εἶτα τὰ μέσα τῶν Χηλῶν κατὰ πλάτος καὶ τοῦ Κενταύρου τὴν δεξιὰν χεῖρα καὶ τὰ ἐμπρόσθια γόνατα· μετὰ δὲ τὸν ἀφανῆ πόλον 〈τὴν〉 καμπήν τε τοῦ Ποταμοῦ καὶ 〈τοῦ〉 Κήτους τὴν κεφαλὴν καὶ τοῦ Κριοῦ τὰ νῶτα κατὰ πλάτος καὶ τοῦ Περσέως τὴν κεφαλὴν καὶ τὴν δεξιὰν χεῖρα. ARAT.

79 (n) ib. 525—528, 537—549 Τοὺς μὲν παρβολάδην ὀρθοὺς περιβάλλεται ἄξων, μεσσόθι πάντας ἔχων· ὁ δὲ τέτρατος ἐσφήκωται λοξὸς ἐν ἀμφοτέροις, οἵ μίν ῥ’ ἑκάτερθεν ἔχουσιν ἀντιπέρην τροπικοί, μέσσος δέ ἑ μεσσόθι τέμνει. — — — — — — — — — — — — — — — Αὐτὰρ ὅ γ’ ὠκεανοῖο τόσον παραμείβεται ὕδωρ, ὅσσον ἀπ’ Αἰγοκερῆος ἀνερχομένοιο μάλιστα Καρκίνον εἰς ἀνιόντα κυλίνδεται. Ὅσσον ἁπάντῃ ἀντέλλων ἐπέχει, τόσσον γε μὲν ἄλλοθι δύνων. Ὅσσον δ’ ὀφθαλμοῖο βολῆς ἀποτείνεται αὐγή, ἑξάκις ἂν τόσση μιν ὑποδράμοι· αὐτὰρ ἑκάστη ἴση μετρηθεῖσα δύω περιτέμνεται ἄστρα. Ζωϊδίων δέ ἑ κύκλον ἐπίκλησιν καλέουσιν. Τῷ ἔνι Καρκίνος ἐστί, Λέων ἐπὶ τῷ, μετὰ δ’ αὐτὸν Παρθένος· αἱ δ’ ἐπί οἱ Χηλαὶ καὶ Σκορπίος αὐτὸς Τοξευτής τε καὶ Αἰγόκερως, ἐπὶ δ’ Αἰγοκερῆϊ Ὑδροχόος· δύο δ’ αὐτῷ ἔπ’ Ἰχθύες ἀστερόεντες, τοὺς δὲ μέτα Κριός, Ταῦρος δ’ ἐπὶ τῷ Δίδυμοί τε. [HIPPARCH.

80 ib. I 6 4 Ἔγγιον οὖν ἦν εἰπεῖν τὸν Περσέα καὶ τὴν Κασσιέπειαν κεῖσθαι κατὰ ἄκραν τὴν οὐρὰν τῆς Μικρᾶς Ἄρκτου· ταύτης γὰρ ὁ ἔσχατος καὶ λαμπρότατος ἀστὴρ κεῖται κατὰ τὴν ιη′ μοῖραν τῶν Ἰχθύων, ὡς δὲ Εὔδοξος διαιρεῖ τὸν ζῳδιακὸν κύκλον, κατὰ τὴν γ′ μοῖραν τοῦ Κριοῦ. — —II 2 4 Ὁ δὲ Εὔδοξος ἐξαριθμούμενος, ὅσα ἐστὶν ὑπὲρ γῆς τοῦ Καρκίνου ἀρχομένου ἀνατέλλειν, φησὶ τὸν Ἐνγόνασιν ὅλον εἶναι φανερόν, τοῦ δὲ Στεφάνου τὸ ἥμισυ, καὶ τὴν τοῦ Ἀρκτοφύλακος κεφαλήν, καὶ τὴν τοῦ Ὀφιούχου κεφαλήν, καὶ τὴν οὐρὰν τοῦ ἐχομένου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὄφεως, τῶν δὲ πρὸς νότον 〈τὸν〉 Ὠρίωνα ὅλον, καὶ τοῦ νοτίου Ἰχθύος τὸ πρὸς τὴν κεφαλήν.

81 5 Ὁ μὲν οὖν Στέφανος κατὰ τὸν Ἄρατον (572) ἔγγιστα συμφωνεῖ .... Κατὰ μέντοι γε τὸν Εὔδοξον δῆλον ὅτι διαφωνεῖ, ἐπείπερ ἡ ἀρχὴ τοῦ Καρκίνου κατ' αὐτὸν κατὰ μέσον ἐστὶ τὸ τῶν Διδύμων δωδεκατημόριον. 6 Ἵνα δὲ μὴ διὰ παντὸς ἐπισημαινώμεθα τοῦτο, διαληπτέον καθόλου, διότι μὴ ὁμοίως ἀναγράφουσιν ἀμφοτέροις οὐ δυνατὸν ἑκατέρῳ αὐτῶν συμφωνεῖν τὸ φαινόμενον. Δεῖ δὲ κἀκεῖνο διειληφέναι, διότι πάντα μὲν πλὴν ὀλίγων τινῶν ὁμοίως ἀμφότεροι ἀναγράφουσι τὰ περὶ τὰς ἀνατολάς· ὁ γὰρ Ἄρατος τοῖς ὑπὸ τοῦ Εὐδόξου λεγομένοις ἠκολούθηκε· συμφωνοῦσι μέντοι γε αἱ ὑπ' αὐτῶν ἀναγεγραμμέναι συνανατολαὶ τῇ κατὰ τὸν Ἄρατον μᾶλλον τοῦ ζῳδιακοῦ διαιρέσει ἤπερ 〈τῇ〉 κατὰ τὸν Εὔδοξον. Ἔσται δὲ τοῦτο φανερὸν ἐκ τῶν κατὰ μέρος περὶ αὐτῶν ῥηθησομένων. HIPPARCH.

82 ib. II 2 13 Ἐν δὲ τῇ ἀρχῇ τοῦ περὶ τῶν ἀνατολῶν λόγου διελθών, ὅσα ἐπὶ δύσεως καὶ ἀνατολῆς ἐστιν ἀρχομένου τοῦ Καρκίνου ἀνατέλλειν, ἑξῆς φησιν· «Ὅταν δ' ὁ Καρκίνος ἀνατέλλῃ, τῶν μὲν πρὸς ἄρκτους οὐθὲν ἀνίσχει, τῶν δὲ πρὸς νότον ὁ Λαγωός, καὶ τοῦ Κυνὸς τὰ ἐμπρόσθια, καὶ ὁ Προκύων, καὶ τοῦ Ὕδρου ἡ κεφαλή· δύνει δὲ τῶν μὲν πρὸς ἄρκτους ἡ τοῦ Ἀρκτοφύλακος κεφαλή.» SPHAERICA ANON.

83 ap. VETT. VAL. p. 8, 27 Kroll ( Καρκίνο ς) Νοτόθεν συνανατέλλει Λαγωὸς καὶ τοῦ Κυνὸς τὰ ἐμπρόσθια καὶ ὁ Προκύων .... Βορρόθεν δύνει Ἀρκτοφύλακος κεφαλὴ καὶ ὁ Ἐνγόνασι καὶ Ἀετὸς καὶ Στεφάνου τὸ ἥμισυ. HIPPARCH.

84 ib. II 2 31 Τοῦ δὲ Λέοντος ἀρχομένου ἀνατέλλειν ὁ μὲν Ἄρατός φησι τά τε σὺν τῷ Καρκίνῳ δεδυκέναι καὶ τὸν Ἀετόν, τοῦ δὲ Ἐνγόνασιν ἔτι τὸν ἀριστερὸν πόδα καὶ 〈τὸ〉 γόνυ ἀπολείπεσθαι, τὰ δὲ λοιπὰ δεδυκέναι. Ἀνατέλλειν δὲ τὴν κεφαλὴν τοῦ Ὕδρου, καὶ τὸν Λαγωόν, καὶ τὸν Προκύνα, καὶ τοὺς ἐμπροσθίους πόδας τοῦ Κυνός. 32 Τῷ δὲ Ἀράτῳ ὁμοίως καὶ ὁ Εὔδοξος ἀποφαίνεται. SPHAERICA ANON.

85 ib. p. 9, 26 ( Λέων) Κατὰ δὲ τὰ Σφαιρικὰ βορρόθεν συνανατέλλει ὁ ἀριστερὸς βραχίων τοῦ Ἀρκτοφύλακος, νοτόθεν πρύμνα Ἀργοῦς καὶ τοῦ Κυνὸς τὸ λοιπὸν καὶ τῆς Ὕδρας .... 〈μέχρι τοῦ Κρατῆροσ〉 .... Βορρόθεν δέ ἐστι Δελφίν, Λύρα, τὸ Ζεῦγμα, Ὄρνις πλὴν τοῦ λαμπροῦ ἀστέρος κατὰ τὸ ὀρθοπύγιον αὐτοῦ καὶ τοῦ Ἵππου ἡ κεφαλή. ARAT.

86 (n) ib. 596—606 Οὐ μέν θην ὀλίγους γαίης ὑπὸ νείατα βάλλει Παρθένος ἀντέλλουσα. Λύρη τότε Κυλληναίη καὶ Δελφὶς δύνουσι καὶ εὐποίητος Ὀϊστός. Σὺν τοῖς Ὄρνιθος πρῶτα πτερὰ μέσφα παρ' αὐτὴν οὐρὴν καὶ Ποταμοῖο παρηορίαι σκιόωνται. Δύνει δ' Ἱππείη κεφαλή, δύνει δὲ καὶ αὐχήν. Ἀντέλλει δ' Ὕδρη μὲν ἐπὶ πλέον ἄχρι παρ' αὐτὸν Κρητῆρα. Φθάμενος δὲ Κύων πόδας αἴνυται ἄλλους, ἕλκων ἐξόπιθεν πρύμναν πολυτειρέος Ἀργοῦς. Ἡ δὲ θέει γαίης ἱστὸν διχόωσα κατ' αὐτόν, Παρθένος ἦμος ἅπασα περαιόθεν ἄρτι γένηται. HIPPARCH.

87 ib. II 2 36 Τῷ δὲ Ἀράτῳ τὰ αὐτὰ καὶ ὁ Εὔδοξος λέγει .... 37 Ἐν μὲν οὖν τοῖς ἄλλοις συμφωνοῦσι τοῖς φαινομένοις. Ὁ δὲ Ὀϊστὸς οὐ τῷ Λέοντι ἀντικαταδύνει μόνον, ἀλλὰ καὶ τῷ Καρκίνῳ .... 38 Ὁ δὲ ἀπὸ τοῦ Ὠρίωνος Ποταμὸς οὐ τῷ Λέοντι ἄρχεται ἀντικαταδύνειν, ὡς οἱ περὶ τὸν Εὔδοξόν φασιν, ἀλλὰ τῇ Παρθένῳ. ARAT.

88 (n) ib. 607—616 (om. 613); 625—633 Οὐδ' ἂν ἐπερχόμεναι Χηλαὶ καὶ λεπτὰ φάουσαι ἄφραστοι παρίοιεν, ἐπεὶ μέγα σῆμα Βοώτης ἀθρόος ἀντέλλει βεβολημένος Ἀρκτούροιο. Ἀργὼ δ' εὖ μάλα πᾶσα μετήορος ἵσταται ἤδη· ἀλλ' Ὕδρη, κέχυται γὰρ ἐν οὐρανῷ ἤλιθα πολλή, οὐρῆς ἂν δεύοιτο. Μόνην δ' ἐπὶ Χηλαὶ ἄγουσιν δεξιτερὴν κνήμην, αὐτῆς ἐπιγουνίδος ἄχρις, αἰεὶ γνύξ, αἰεὶ δὲ Λύρῃ παραπεπτηῶτος, ὅντινα τοῦτον ἄϊστον ὑπουρανίων εἰδώλων ...
— — — — — — — — — — — — — — — Ἥμισυ δὲ Στεφάνοιο καὶ αὐτὴν ἔσχατον οὐρὴν Κενταύρου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φορέουσιν ἀνερχόμεναι ἔτι Χηλαί. Τῆμος ἀποιχομένην κεφαλὴν μέτα δύεται Ἵππος, καὶ προτέρου Ὄρνιθος ἐφέλκεται ἔσχατος οὐρή. Δύνει δ' Ἀνδρομέδης κεφαλή· τὸ δέ οἱ μέγα δεῖμα Κήτεος ἠερόεις ἐπάγει νότος· ἀντία δ' αὐτὸς Κηφεὺς ἐκ βορέω μεγάλῃ ἀνὰ χειρὶ κελεύει. Καὶ τὸ μὲν ἐς λοφιὴν τετραμμένον ἄχρι παρ' αὐτὴν δύνει, ἀτὰρ Κηφεὺς κεφαλῇ καὶ χειρὶ καὶ ὤμοις. HIPPARCH. [15]

89 ib. II 2 46 Ὁμοίως δὲ καὶ ἐν τούτοις ὁ Ἄρατος τρόπον τινὰ παραγέγραφε τὰ τοῦ Εὐδόξου. 47 Τὰ μὲν οὖν λοιπὰ ὑπ' αὐτῶν ὑγιῶς εἴρηται. Περὶ δὲ τοῦ Κενταύρου ὁλοσχερῶς ἠγνοήκασιν· οὔτε γὰρ ἡ οὐρὰ αὐτοῦ καὶ καθόλου τὰ ὀπίσθια πάντα ἀνατέλλει, ἀλλὰ ὁ ἀριστερὸς ὦμος· πολλῷ γάρ ἐστι βορειότερος· οὔτε τῇ Παρθένῳ ἄρχεται συνανατέλλειν, ὥς φασιν, ἀλλὰ ταῖς Χηλαῖς .... 48 Τῆς δὲ Ἀνδρομέδας οὐ μόνον ἡ κεφαλὴ δέδυκε τῶν Χηλῶν πρὸς τῇ ἀνατολῇ οὐσῶν, ἀλλὰ καὶ αἱ χεῖρες ἀμφότεραι. 49 Τὸ δὲ Κῆτος οὐ τῇ Παρθένῳ ἄρχεται ἀντικαταδύνειν, ὡς οὗτοί φασιν, ἀλλὰ τῷ Λέοντι .... 50 Τοῦ δὲ Κηφέως ἡ κεφαλὴ μόνον δύνει .... Οὐ μόνον δὲ κατ' αὐτὸ ἀγνοοῦσιν, ἀλλὰ καὶ καθ' ὅ φασι τῇ Παρθένῳ ἀντικαταδύνειν τὴν κεφαλὴν αὐτοῦ· οὐ γὰρ τῇ Παρθέν ῳ, ἀλλὰ ταῖς Χηλαῖς ἄρχεται ἀντικαταδύνειν. ARAT. [10]

90 (n) ib. 634—636, 647—651, 654—657, 659—663 Καμπαὶ δ' ἂν Ποταμοῖο καὶ αὐτίκ' ἐπερχομένοιο Σκορπίου ἐμπίπτοιεν ἐϋρρόου ὠκεανοῖο· ὃς καὶ ἐπερχόμενος φοβέει μέγαν Ὠρίωνα. — — — — — — — — — — — — — — — Οὐδὲ μὲν Ἀνδρομέδης καὶ Κήτεος ὅσς' ἐλέλειπτο κείνου ἔτ' ἀντέλλοντος ἀπευθέες, ἀλλ' ἄρα καὶ τοὶ πανσυδίῃ φεύγουσιν· ὁ δὲ ζώνῃ τότε Κηφεὺς γαῖαν ἐπιξύει, τὰ μὲν ἐς κεφαλὴν μάλα πάντα βάπτων ὠκεανοῖο ... — — — — — — — — — — — — — — — Ἡ δὲ καὶ αὐτὴ παιδὸς ἐπείγεται εἰδώλοιο δειλὴ Κασσιέπεια· τὰ δ' οὐκέτι οἱ κατὰ κόσμον φαίνεται ἐκ δίφροιο πόδες καὶ γούναθ' ὕπερθεν, ἀλλ' ἥγ' ἐς κεφαλὴν ἴση δύετ' ἀρνευτῆρι μειρομένη γονάτων. — — — — — — — — — — — — — — — Ἡ μὲν ἄρ' εἰς ἑτέρην φέρεται· τὰ δὲ νειόθεν ἄλλα οὐρανὸς ἀντιφέρει, Στεφάνοιό τε δεύτερα κύκλα Ὕδρης τ' ἐσχατιήν· φορέει τ' ἐπὶ Κενταύροιο σῶμά τε καὶ κεφαλήν, καὶ Θηρίον ὅ ῥ' ἐνὶ χειρὶ δεξιτερῇ Κένταυρος ἔχει. — —666—672 Καρήατα δ' αὐτὸς ἀγινεῖ Σκορπίος ἀντέλλων, ἀνάγει δ' αὐτὰς Ὀφιούχου χεῖρας καὶ προτέρην Ὄφιος πολυτειρέος ἀγήν. [1]

91 (n) Τοῦ γε μὲν Ἐνγόνασιν (περὶ γὰρ τετραμμένος αἰεὶ ἀντέλλει) τότε μὲν περάτης ἐξέρχεται ἄλλα, γυῖά τε καὶ ζώνη καὶ στήθεα πάντα καὶ ὦμος δεξιτερῇ σὺν χειρί· ... HIPPARCH. [5]

92 ib. II 2 57 ad ARAT. 683 de Auriga Ἔτι δὲ τὴν κεφαλὴν καὶ τὴν δεξιὰν χεῖρα τῷ Τοξότῃ ἀντικαταδύνειν (sc. dicit Aratus), τὰ δὲ πρὸς τοὺς πόδας τῷ Σκορπί ῳ. — —II 2 53 Ὁ δὲ Εὔδοξος τὰ μὲν λοιπὰ ὁμοίως ἀναγράφει (sc.

93 ut ARAT. 634—672)· τὴν δὲ κεφαλὴν τοῦ Ὀφιούχου γράφει ἀνατέλλουσαν καὶ τὴν ἀριστερὰν μόνον χεῖρα· ... — —II 2 53 Τὴν δὲ ἄλλην καὶ τὸ Θηρίον οὐ τοῦ Σκορπίου ἀλλὰ τοῦ Τοξότου ἀνατέλλοντος ὑπὲρ γῆν καταφαίνεσθαι.

94 54 Καὶ τὰ μὲν ἄλλα συμφώνως ἀναγράφουσι τοῖς φαινομένοις. Τὸ δὲ Θηρίον οὔτε ταῖς Χηλαῖς 〈οὔτε τῷ Σκορπίῳ συνανατέλλει, ἀλλὰ τὸ μὲν σῶμα ταῖς Χηλαῖς 〉, τὸ δὲ λοιπὸν τῷ Σκορπίῳ συναναφέρεται, ὡς καὶ ὁ Εὔδοξός φησι. Δῆλον ὅτι καὶ ταῖς Χηλαῖς μέρος τι αὐτοῦ δεῖ κατὰ τὸν Εὔδοξον συνανατέλλειν. Ὁ δὲ Ἄρατος ἀγνοεῖ ἐν τοῖς περὶ τὸν Ὀφιοῦχον· ἡ γὰρ ἀριστερὰ χεὶρ αὐτοῦ μόνον ταῖς Χηλαῖς συνανατέλλει, ἡ δὲ κεφαλὴ καὶ ἡ δεξιὰ χεὶρ τῷ Σκορπίῳ. ARAT. [5]

95 (n) ib. 663—666 Τοὶ δ' αὖθι μένουσιν Τόξον ἐπερχόμενον πρότεροι πόδες ἱππότα φηρός. Τόξῳ καὶ σπείρη Ὄφιος καὶ σῶμ' Ὀφιούχου ἀντέλλει ἐπιόντι· ... — —672—678 Κάρη δ' ἑτέρης μετὰ χειρὸς Τόξῳ ἀνέρχονται καὶ Τοξότῃ ἀντέλλοντι. [1]

96 (n) Σὺν τοῖς Ἑρμαίῃ τε Λύρῃ καὶ στήθεος ἄχρις Κηφεὺς ἠῴου παρελαύνεται ὠκεανοῖο, ἦμος καὶ μεγάλοιο Κυνὸς πᾶσαι ἀμαρυγαὶ δύνουσιν, καὶ πάντα κατέρχεται Ὠρίωνος, πάντα γε μὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀτέλεστα διωκομένοιο Λαγωοῦ . — —684—688 Τὰ δὲ νείατα πάντα αὐτῷ Τοξευτῆρι κατέρχεται· οὐδέ τι Περσεύς, οὐδέ τι ἄκρα κόρυμβα μένει πολυτειρέος Ἀργοῦς· ἀλλ’ ἤτοι Περσεὺς μὲν ἄτερ γουνός τε ποδός τε δεξιτεροῦ δύεται, πρύμνης δ’ ὅσον ἐς περιαγήν. [5]

98 HIPPARCH. ib. II 3 2 Τὰ μὲν οὖν ἄλλα συμφώνως ὑπ’ αὐτῶν λέγεται τοῖς φαινομένοις. Τὰ δὲ κατὰ τὸν Ὄρνιθα ἠγνόηται μὲν ὑπ’ ἀμφοτέρων, μᾶλλον δὲ ὑπὸ τοῦ Ἀράτου. Ὁ μὲν γὰρ Εὔδοξος τῷ Σκορπίῳ φησὶ συνανατέλλειν τὴν δεξιὰν πτέρυγα τοῦ Ὄρνιθος, τῷ δὲ Τοξότῃ τὸ λοιπὸν αὐτοῦ σῶμα. Ἐξ ὧν δῆλον ὅτι τὴν δεξιὰν πτέρυγα τοῦ Ὄρνιθος κατὰ τὸν Εὔδοξον δεῖ τοῖς ἐσχάτοις μέρεσι τοῦ Σκορπίου συναναφέρεσθαι. Ὁ δὲ Ἄρατός φησι τῷ Τοξότῃ μόνον συνανατέλλειν αὐτόν. — —II 2 58 Διὸ καὶ ἐν τοῖς πρότερον περὶ τὴν τοῦ Σκορπίου ἀνατολὴν ἀγνοεῖ λέγων (sc. [5]

99 de Ingeniculato)· Κάρη δ’ ἑτέρης μετὰ χειρὸς τόξῳ ἀνέλκονται. 59 Κατηκολούθηκε δὲ καὶ κατὰ τοῦτο τῷ Εὐδόξῳ. — —II 2 59 Διαφωνοῦσι δὲ πρὸς τὸ φαινόμενον καὶ ἐν τοῖς περὶ τοῦ Κηφέως . [5]

100 ... 60 Ὁ δὲ Περσεὺς ὅλος τῷ Σκορπίῳ ἀντικαταδύνει καὶ οὐχ, ὡς οὗτοί φασιν, ὁ δεξιὸς ποὺς καὶ τὸ δεξιὸν γόνυ τῷ Τοξότῃ ἀντικαταφέρεται. — —II 2 61 Ἠγνοήκασι δὲ καὶ τὰ περὶ τὴν Ἀργώ· ἄρχεται γὰρ ἀντικαταδύνειν οὐ τῷ Σκορπί ῳ, ἀλλὰ μέσαις ταῖς Χηλαῖς.

101 Ἔδει οὖν ἀρχομένου τοῦ Σκορπίου ἀνατέλλειν λέγειν τὴν τῆς Ἀργοῦς πρύμναν δεδυκέναι, καὶ μὴ τοῦ Τοξότου ἀναφερομένου. ARAT.

102 (n) ib. 679—684 Ἀλλ’ οὐχ Ἡνιόχῳ Ἔριφοι οὐδ’ ὠλενίη Αἴξ εὐθὺς ἀπέρχονται· τά τέ οἱ μεγάλην ἀνὰ χεῖρα λάμπονται, καί οἱ μελέων διακέκριται ἄλλων κινῆσαι χειμῶνας, ὅτ’ ἠελίῳ συνίωσιν. Ἀλλὰ τὰ μὲν, κεφαλήν τε καὶ ἄλλην χεῖρα καὶ ἰξύν, Αἰγόκερως ἀνιὼν κατάγει· ... — —689—692 Αὐτὴ δ’ Αἰγοκερῆϊ κατέρχεται ἀντέλλοντι, ἦμος καὶ Προκύων δύεται, τὰ δ’ ἀνέρχεται ἄλλα, Ὄρνις τ’ Αἰητός τε, τά τε πτερόεντος Ὀϊστοῦ τείρεα, καὶ νοτίοιο Θυτηρίου ἱερὸς ἕδρη. [1]

104 HIPPARCH. ib. II 3 1 Πάλιν δὲ τοῦ Αἰγόκερω πρὸς τῇ ἀνατολῇ ὄντος, τῷ Τοξότῃ φασὶν ἀντικαταδύνειν τήν τε Ἀργὼ ὅλην καὶ τὸν Προκύνα, συνανατέλλειν δὲ τόν τε Ὄρνιθα, καὶ τὸν Ἀετόν, καὶ τὸν Ὀϊστόν, καὶ τὸ Θυμιατήριον. SPHAERICA ANON.

105 ib. p. 11, 21 ( Αἰγόκερω ς) Κατὰ 〈δὲ τὰ〉 Σφαιρικὰ βορρόθεν ἀνατέλλει Κασσιέπεια 〈καὶ τὰ〉 δεξιὰ μέρη τοῦ Ἵππου· νοτόθεν δύνει τὰ ὀπίσθια τοῦ Κενταύρου καὶ τὰ σκέλη τῆς Ὕδρας ἄχρι τοῦ Κρατῆρος .... Βορρόθεν οὐδέν ἐστιν. HIPPARCH.

106 ib. II 3 4 Τοῦ δὲ Ὑδροχόου ἀρχομένου ἀνατέλλειν φησὶ (sc. Aratus) συνανατεταλκέναι τῷ Αἰγόκερῳ τοῦ Ἵππου τήν τε κεφαλὴν καὶ τοὺς πόδας, δύνειν δὲ τὰ ὀπίσθια τοῦ Κενταύρου, καὶ τοῦ Ὕδρου τὸ ἀπὸ τῆς κεφαλῆς ἕως τῆς πρώτης σπείρας. Ὁ δὲ Εὔδοξός φησι καὶ τὴν Κασσιέπειαν ἀνατέλλειν καὶ τὸν Δελφῖνα. SPHAERICA ANON. [5]

107 ib. p. 12, 9 ( Ὑδροχόο ς) Κατὰ δὲ τὰ Σφαιρικὰ βορρόθεν ἀνατέλλει Ἀνδρομέδας μέρη τινὰ τῶν δεξιῶν καὶ τοῦ Ἵππου τὰ λοιπά, νοτόθεν ὁ νότιος τῶν Ἰχθύων πλὴν τῆς κεφαλῆς .... Βορρόθεν 〈οὐδὲν〉 δύνει. Νοτόθεν δὲ τοῦ Κενταύρου τὰ λοιπὰ καὶ τῆς Ὕδρας ἄχρι τοῦ Κόρακος. HIPPARCH.

108 ib. II 3 11 Τῆς δὲ ἀρχῆς τῶν Ἰχθύων ἀνατελλούσης ὁ μὲν Ἄρατός φησι δεδυκέναι τά τε λοιπὰ τοῦ Ὕδρου καὶ τὸν Κένταυρον, ἀνατεταλκέναι δὲ τὸν νότιον Ἰχθὺν οὐχ ὅλον, ἀλλὰ παρὰ μικρόν, καὶ τῆς Ἀνδρομέδας τὰ δεξιὰ μέρη κατὰ μῆκος. 12 Ὁ δὲ Εὔδοξος ἐν μὲν τῷ ἑνὶ συντάγματι, ᾧ δὴ καὶ ὁ Ἄρατος κατακολουθεῖ, καὶ τοῦ Περσέως τὴν δεξιὰν χεῖρά φησιν ἀνατέλλειν ... SPHAERICA ANON. [5]

109

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ib. p. 13, 11 ( Ἰχθύε ς) Βορρόθεν συνανατέλλει τὰ λειπόμενα τῆς Ἀνδρομέδας καὶ τὰ λοιπὰ τοῦ Περσέως, τὰ δὴ ἐν δεξιῷ, καὶ τὸ ὑπὲρ τὸν Κριὸν Τρίγωνον, νοτόθεν τοῦ νοτίου Ἰχθύος 〈ἡ〉 κεφαλή .... Νοτόθεν δύνει Θυμιατήριον καὶ τὰ λειπόμενα τῆς Ὕδρας, βορρόθεν οὐδέν. ARAT.

110 (n) ib. 708—714 Τὰ δ’ ἀριστερὰ νειόθεν ἕλκει Κριὸς ἀνερχόμενος. Τοῦ καὶ περιτελλομένοιο ἑσπερόθεν κεν ἴδοιο Θυτήριον, αὐτὰρ ἐν ἄλλῃ Περσέος ἀντέλλοντος ὅσον κεφαλήν τε καὶ ὤμους· αὐτὴ δὲ ζώνη καί κ’ ἀμφήριστα πέλοιτο ἢ Κριῷ λήγοντι φαείνεται ἢ ἐπὶ Ταύρῳ, σὺν τῷ πανσυδίῃ ἀνελίσσεται. ΦΑΙΝΟΜΕΝΑ HIPPARCH. [5]

111 ib. II 3 29 Δοκεῖ δέ μοι διηπορῆσθαι ὁ Ἄρατος παρὰ τὴν αὐτὴν αἰτίαν, παρ’ ἣν καὶ ὁ Εὔδοξος, ᾧ κατηκολούθηκεν ὁ Ἄρατος. Ἐν μὲν γὰρ τῷ συντάγματι τῷ περὶ τῶν φαινομένων γράφει, ὅτι τοῖς Ἰχθύσι συνανατέλλει τὰ δεξιὰ τοῦ Περσέως, ὥστε τῆς ἀρχῆς τοῦ Κριοῦ πρὸς τῇ ἀνατολῇ οὔσης τὰ δεξιὰ μόνον τοῦ Περσέως μέρη κατ’ αὐτὸν ὑπὲρ γῆν φαίνεσθαι. ΕΝΟΠΤΡΟΝ — —II 3 12 Ἐν δὲ τῷ Ἐνόπτρ ῳ, ὅλον αὐτὸν ἀνατεταλκέναι πλὴν μικροῦ τινος. [10]

112b — — Ἐν δὲ τῷ ἑτέρῳ συντάγματι, ὃ ἐπιγράφεται Ἔνοπτρον, τοῖς Ἰχθύσι φησὶν αὐτὸν ὅλον πλὴν ὀλίγου συνανατέλλειν. 30 Ἐν πᾶσιν οὖν σχεδὸν τοῖς περὶ τὰς ἀνατολὰς τῶν ἄστρων συμφωνούντων ἀλλήλοις τῶν δύο συνταγμάτων, περὶ δὲ τοῦ Περσέως διαφόρου τῆς ἀναγραφῆς οὔσης, εὐλόγως ὁ Ἄρατος, διαπορῶν, ποίᾳ τις κατακολουθήσει ἀποφάσει, ἀμφήριστόν φησιν εἶναι καὶ δισταζόμενον, πότερον καὶ ἡ ζώνη τοῦ Περσέως μετὰ τῶν ὤμων καὶ τῆς κεφαλῆς τοῦ Κριοῦ ἀνατέλλοντος μετέωρος φαίνεται ἢ τοῦ Ταύρου ἀναφερομένου, ὡς τὸ ἕτερον τῶν τοῦ Εὐδόξου συνταγμάτων περιέχει. — —II 2 11 Περὶ δὲ τοῦ Ἀρκτοφύλακος ὁλοσχερῶς δοκοῦσί μοι ἀγνοεῖν· φασὶ γὰρ αὐτὸν τέσσαρσι ζῳδίοις ἀντικαταδύνειν, Κριῷ τε καὶ Ταύρῳ καὶ Διδύμοις καὶ Καρκίνῳ . [15]

113 ... 13 Ὁ δὲ Εὔδοξος γράφει οὕτως· » Ὅταν ὁ Κριὸς ἀνατέλλ ῃ, τῶν μὲν πρὸς ἄρκτους τοῦ Ἀρκτοφύλακος οἱ πόδες δύνουσι, τῶν δὲ πρὸς νότον τοῦ Θηρίου τὸ λοιπόν.» SPHAERICA ANON. [5]

114 ib. p. 6, 10 ( Κριό ς) Συναναφέρεται δὲ αὐτῷ ἀπὸ τῶν ἀρκτῴων τὰ πρῶτα Περσέως τὰ λειπόμενα, καὶ τὰ ἀριστερὰ τοῦ Ἡνιόχου, νοτόθεν δὲ τοῦ Κήτους ἡ λοφιὰ καὶ ἡ οὐρά· βορρόθεν δὲ δύνουσιν Ἀρκτοφύλακος πόδες, νοτόθεν δὲ τοῦ Θηρίου τὸ λειπόμενον. HIPPARCH.

115 ib. II 3 33 Τῆς δὲ ἀρχῆς τοῦ Ταύρου ἀνατελλούσης φησὶν ὁ Ἄρατός τε καὶ ὁ Εὔδοξος τὸν Περσέα ὅλον φαίνεσθαι ὑπὲρ γῆν, καὶ τοῦ Ἡνιόχου τὴν ἀριστερὰν χεῖρα, ἐν ᾗ οἱ Ἔριφοι κεῖνται, καὶ τὸν ἀριστερὸν πόδα, καὶ τοῦ Κήτους τὸ ἀπὸ τῆς οὐρᾶς ἕως τῆς λοφίας. Δεδυκέναι δέ φησι τοῦ Βοώτου τι μέρος. 34 Ἀγνοοῦσιν οὖν τὰ ἀριστερὰ μόνον ὑπολαμβάνοντες τοῦ Ἡνιόχου τῷ Κριῷ συνανατέλλειν. ARAT. [5]

116 (n) ib. 718—719 Ἀλλ’ Ἔριφοι λαιοῦ τε θέναρ ποδὸς Αἰγὶ σὺν αὐτῇ Ταύρῳ συμφορέονται. SPHAERICA ANON. [1]

117 ib. p. 6, 30 ( Ταῦρο ς) Βορρόθεν συνανατέλλοντα τὰ λειπόμενα τοῦ Ἡνιόχου, τὰ λοιπὰ νοτόθεν τοῦ Κήτους καὶ τὰ πρῶτα τοῦ Ποταμοῦ .... Βορρόθεν δύνει ὁ Ἀρκτοφύλαξ ἄχρι τῆς ζώνης καὶ τοῦ Ὀφιούχου ἄχρι τῶν γονάτων. ARAT.

118 (n) ib. 724—731 Ἀμφότεροι δὲ πόδες καταδυομένοι’ Ὀφιούχου μέσφ’ αὐτῶν γονάτων Διδύμοις ἔπι σῆμα τετύχθω ἐξ ἑτέρης ἀνιοῦσι. Τότ’ οὐκέτι Κήτεος οὐδὲν ἕλκεται ἀμφοτέρωθεν, ὅλον δέ μιν ὄψεαι ἤδη. Ἤδη καὶ Ποταμοῦ πρώτην ἁλὸς ἐξανιοῦσαν καμπὴν ἐν καθαρῷ πελάγει σκέψαιτό κε ναύτης, αὐτὸν ἐπ’ Ὠρίωνα μένων, εἴ οἵ ποθι σῆμα ἢ νυκτὸς μέτρων ἠὲ πλόου ἀγγείλειεν. SPHAERICA ANON. [5]

119

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ib. p. 8, 15 ( Δίδυμο ι) Παρανατέλλει δὲ νοτόθεν καὶ τοῦ Ποταμοῦ τὸ λοιπὸν καὶ Ὠρίων .... Βορρόθεν δὲ δύνει Ἀρκτοφύλαξ, Ὀφιοῦχος πλὴν τῆς κεφαλῆς καὶ τοῦ Στεφάνου τὸ ἥμισυ. [HIPPARCH.

120 ib. II 2 30 Περὶ δὲ τοῦ Ὠρίωνος συμφωνεῖ ὁ 〈Εὔδοξοσ〉 , ὑπολαμβάνων αὐτὸν τοῖς Διδύμοις ὅλον συνανατέλλειν.] ΠΕΡΙ ΤΑΧΩΝ EUDEM.

121 RHOD. Hist. astrol. fr. 148 Wehrli ap. SIMPLIC. In Arstt. De caelo comm. p. 488 Heiberg Καὶ πρῶτος τῶν Ἑλλήνων Εὔδοξος ὁ Κνίδιος, ὡς Εὔδημός τε ἐν τῷ δευτέρῳ τῆς Ἀστρολογικῆς ἱστορίας ἀπεμνημόνευσε καὶ Σωσιγένης παρὰ Εὐδήμου τοῦτο λαβών, ἅψασθαι λέγεται τῶν τοιούτων ὑποθέσεων Πλάτωνος, ὥς φησι Σωσιγένης, πρόβλημα τοῦτο ποιησαμένου τοῖς περὶ ταῦτα ἐσπουδακόσι, τίνων ὑποτεθεισῶν ὁμαλῶν καὶ τεταγμένων κινήσεων διασωθῇ τὰ περὶ τὰς κινήσεις τῶν πλανωμένων φαινόμενα. SIMPLIC.

122 In Arstt. De caelo comm. p. 422 Heiberg Καί ἐστι τὸ θαυμαστὸν πρόβλημα τῶν ἀστρονόμων τοῦτο τὸ διδομένων αὐτοῖς τινων ὑποθέσεων, τοῖς μὲν πάλαι τοῖς περὶ Εὔδοξον καὶ Κάλλιππον, οἷς καὶ Ἀριστοτέλης ἀκολουθεῖ, τῶν καλουμένων ἀνελιττουσῶν σφαιρῶν, περὶ ὧν αὐτὸς ἐν τῇ Μετὰ τὰ φυσικὰ διδάσκει (Λ 1073 a 14 ss. ), τοῖς δὲ μετ' ἐκείνους ... ALEX.

123 APHR. In Arstt. Met. comm. p. 703 Hayduck Ἀλλ' ὅ φησι (sc. Aristoteles in D 6) τοῦτό ἐστιν, ὅτι τριῶν οὐσῶν σφαιρῶν κατὰ Εὔδοξον τῶν φερουσῶν τὸν ἥλιον, ἡ μὲν πρώτη καὶ περιέχουσα τὰς λοιπὰς δύο καὶ τὴν αὐτὴν τῇ ἀπλανεῖ κινουμένη κίνησιν (ἀπὸ ἀνατολῆς γὰρ ἐπὶ δύσιν ἔλεγον αὐτὴν κινεῖσθαι, καὶ δι' ἣν αἰτίαν εἴπομεν ἐν τῇ Περὶ οὐρανοῦ), αὕτη οὖν ἡ πρώτη ὡς ἀπλανὴς ἐνομίζετο τῷ Εὐδόξῳ πρὸς τὰς λοιπὰς δύο τὰς ὑπ' αὐτῆς περιεχομένας. Καὶ οὐ μόνον τὴν τοῦ ἡλίου πρώτην σφαῖραν ἀπλανῆ ἔλεγεν, ἀλλὰ καὶ τὴν τοῦ Κρόνου καὶ τὴν τοῦ Διὸς καὶ τὰς ἑκάστου τῶν ἄλλων ἀστέρων πρώτας καὶ μείζονας ἀπλανεῖς ἔλεγεν, ὡς εἶναι μίαν μὲν ἀπλανῆ τὴν πρώτην, ἐν ᾗ τὸ χῦμα τῶν τὰ ζῴδια ἀναπληρούντων ἀστέρων εἰσίν, ἑτέραν δὲ τὴν τοῦ Κρόνου, καὶ ἄλλην τὴν τοῦ Διός, καὶ ἐφεξῆς ἃς ἀνάστρους Θεόφραστος ἔλεγεν (fr. 32 Wimmer). SIMPLIC.

124 In Arstt. De caelo comm. p. 492 Heiberg Καὶ εἴρηται καὶ πρότερον, ὅτι ὁ Πλάτων ταῖς οὐρανίαις κινήσεσι τὸ ἐγκύκλιον καὶ ὁμαλὲς καὶ τεταγμένον ἀνενδοιάστως ἀποδιδοὺς πρόβλημα τοῖς μαθηματικοῖς προὔτεινε, τίνων ὑποτεθέντων δι' ὁμαλῶν καὶ ἐγκυκλίων καὶ τεταγμένων κινήσεων δυνήσεται διασωθῆναι τὰ περὶ τοὺς πλανωμένους φαινόμενα, καὶ ὅτι πρῶτος Εὔδοξος ὁ Κνίδιος ἐπέβαλε ταῖς διὰ τῶν ἀνελιττουσῶν καλουμένων σφαιρῶν ὑποθέσεσι. Κάλλιππος δὲ ὁ Κυζικηνὸς Πολεμάρχῳ συσχολάσας τῷ Εὐδόξου γνωρίμῳ μετ' ἐκεῖνον εἰς Ἀθήνας ἐλθὼν τῷ Ἀριστοτέλει συγκατεβίω τὰ ὑπὸ τοῦ Εὐδόξου εὑρεθέντα σὺν τῷ Ἀριστοτέλει διορθούμενός τε καὶ προσαναπληρῶν· τῷ γὰρ Ἀριστοτέλει νομίζοντι δεῖν τὰ οὐράνια πάντα περὶ τὸ μέσον τοῦ παντὸς κινεῖσθαι ἤρεσκεν ἡ τῶν ἀνελιττουσῶν ὑπόθεσις ὡς ὁμοκέντρους τῷ παντὶ τὰς ἀνελιττούσας ὑποτιθεμένη καὶ οὐκ ἐκκέντρους, ὥσπερ οἱ ὕστερον. Εὐδόξῳ τοίνυν καὶ τοῖς πρὸ αὐτοῦ τρεῖς ὁ ἥλιος ἐδόκει κινεῖσθαι κινήσεις τῇ τε τῶν ἀπλανῶν σφαίρᾳ ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς συμπεριαγόμενος καὶ αὐτὸς τὴν ἐναντίαν διὰ τῶν δώδεκα ζῳδίων φερόμενος καὶ τρίτον ἐπὶ τοῦ διὰ μέσων τῶν ζῳδίων εἰς τὰ πλάγια παρεκτρεπόμενος· καὶ γὰρ καὶ τοῦτο κατείληπτο ἐκ τοῦ μὴ κατὰ τὸν αὐτὸν ἀεὶ τόπον ἐν ταῖς τροπαῖς ταῖς θεριναῖς καὶ ταῖς χειμεριναῖς ἀνατέλλειν. Διὰ τοῦτο οὖν ἐν τρισὶν αὐτὸν φέρεσθαι ἔλεγον σφαίραις, ἃς ὁ Θεόφραστος ἀνάστρους ἐκάλει ὡς μηδὲν ἐχούσας ἄστρον καὶ ἀνταναφερούσας μὲν πρὸς τὰς κατωτέρω, ἀνελισσούσας δὲ πρὸς τὰς ἀνωτέρω (fr. 32 Wimmer ). Τριῶν γὰρ οὐσῶν περὶ αὐτὸν κινήσεων ἀδύνατον ἦν τὰς ἐναντίας ὑπὸ τοῦ αὐτοῦ κινεῖσθαι, εἴ γε μὴ καθ' αὑτὸν μήτε ὁ ἥλιος μήτε ἡ σελήνη μήτε ἄλλο τι τῶν ἄστρων κινεῖται, πάντα δὲ ἐνδεδεμένα φέρεται τῷ κυκλικῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σώματι. Εἰ μὲν δὴ τήν τε κατὰ μῆκος περίοδον καὶ τὴν εἰς πλάτος παραχώρησιν ἐν ἑνὶ καὶ τῷ αὐτῷ χρόνῳ ἐποιεῖτο, αὐτάρκεις ἂν ἦσαν δύο σφαῖραι, μία μὲν ἡ τῶν ἀπλανῶν ἐπὶ δυσμὰς περιιοῦσα, ἑτέρα δὲ πρὸς ἕω περὶ ἄξονα στρεφομένη ἐνδεδεμένον μὲν τῇ προτέρᾳ, πρὸς ὀρθὰς δὲ ὄντα λοξῷ κύκλῳ, καθ’ οὗ τὴν πορείαν ἔδοξεν ἂν ποιεῖσθαι ὁ ἥλιος. Ἐπεὶ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τὸν μὲν κύκλον ἐν ἄλλῳ χρόνῳ περίεισι, τὴν δὲ κατὰ πλάτος παραχώρησιν ἐν ἄλλῳ τῳ ποιεῖται, ἀνάγκη καὶ τρίτην προσλαβεῖν σφαῖραν, ὅπως ἑκάστη κίνησις ἑκάστην τῶν φαινομένων περὶ αὐτὸν ἀποδιδῷ. Ταύτῃ τοίνυν τριῶν οὐσῶν τῶν σφαιρῶν καὶ πασῶν ὁμοκέντρων ἀλλήλαις τε καὶ τῷ παντὶ τὴν μὲν τὰς δύο περιέχουσαν περὶ τοὺς τοῦ κόσμου πόλους ὑπετίθετο στρέφεσθαι ἐπὶ ταὐτὰ τῇ τῶν ἀπλανῶν καὶ ἰσοχρονίως ταύτῃ ἀποκαθισταμένην, τὴν δὲ ταύτης μὲν ἐλάττω, μείζω δὲ τῆς λοιπῆς, ἐπιστρέφεσθαι περὶ ἄξονα, καθάπερ εἴρηται, πρὸς ὀρθὰς ὄντα τῷ τοῦ διὰ μέσων τῶν ζῳδίων ἐπιπέδῳ ἀπὸ δυσμῶν ἐπὶ ἀνατολάς, τὴν δὲ ἐλαχίστην καὶ αὐτὴν μὲν ἐπιστρέφεσθαι ἐπὶ ταὐτὰ τῇ δευτέρᾳ, περὶ ἄξονα μέντοι ἕτερον, ὃς νοοῖτο ἂν ὀρθὸς πρός τινος κύκλου ἐπίπεδον μεγίστου καὶ λοξοῦ, ὃν ὁ ἥλιος τῷ ἑαυτοῦ κέντρῳ γράφειν δοκεῖ φερόμενος ὑπὸ τῆς ἐλαχίστης σφαίρας, ἐν ᾗ καὶ ἐνδέδεται. Τὴν δ’ οὖν ὑπόλειψιν τῆς σφαίρας ταύτης βραδυτέραν πολλῷ τίθεται ἢ τὴν τῆς περιεχούσης αὐτήν, μέσης δὲ οὔσης τῷ τε μεγέθει καὶ τῇ θέσει, ὥς ἐστι δῆλον ἐκ τοῦ Περὶ ταχῶν αὐτῷ γεγραμμένου συγγράμματος. Ἡ μὲν οὖν μεγίστη τῶν σφαιρῶν ἐπὶ ταὐτὰ τοῖς ἀπλανέσιν ἄμφω τὰς λοιπὰς ἐπιστρέφει διὰ τὸ τῆς μὲν φέρειν ἐν ἑαυτῇ ὄντας τοὺς πόλους, ἐκείνην δὲ τοὺς τῆς τρίτης τῆς φερούσης τὸν ἥλιον, ὁμοίως δὲ ἔχουσαν ἐν ἑαυτῇ τοὺς πόλους μεθ’ ἑαυτῆς, ἐφ’ ἃ περιάγεται, συνεπιστρέφειν καὶ ταύτην καὶ ἅμα ταύτῃ τὸν ἥλιον, οὕτω τε φαίνεσθαι αὐτὸν ἀπ’ ἀνατολῶν ἐπὶ δυσμὰς φερόμενον συμβαίνει. [45]

124 (50) Καὶ εἰ μέν γε ἀκίνητοι ἦσαν καθ’ ἑαυτὰς αἱ δύο σφαῖραι ἥ τε μέση καὶ ἡ ἐλαχίστη, ἰσοχρόνιος κόσμου στροφῇ γίνοιτο ἂν ἡ τοῦ ἡλίου περιαγωγή, νῦν δέ, ἐπεὶ πρὸς τοὐναντίον αὗται ἀποστρέφονται, ὑστερεῖ τοῦ εἰρημένου χρόνου ἡ ἀπ’ ἀνατολῆς ἐπὶ τὴν ἑξῆς ἀνατολὴν τοῦ ἡλίου ἀπονόστησις. Καὶ ταῦτα μὲν περὶ τὸν ἥλιον, περὶ δὲ τὴν σελήνην τὰ μὲν κατὰ ταὐτά, τὰ δὲ οὐ κατὰ ταὐτὰ διετάξατο· τρεῖς μὲν γὰρ σφαίρας καὶ ταύτην εἶναι τὰς φερούσας, διότι καὶ τρεῖς αὐτῆς ἐφαίνοντο εἶναι κινήσεις, τούτων δὲ μίαν μὲν τὴν ὁμοίως κινουμένην τῇ τῶν ἀπλανῶν, ἑτέραν δὲ ἐναντίως μὲν ταύτῃ, περὶ ἄξονα δὲ στρεφομένην πρὸς ὀρθὰς ὄντα τῷ ἐπιπέδῳ τοῦ διὰ μέσου τῶν ζῳδίων, καθάπερ καὶ ἐφ’ ἡλίου, τρίτην δὲ οὐκέτι καθάπερ ἐφ’ ἡλίου, ὅτι κατὰ μὲν τὴν θέσιν ὁμοίως, κατὰ δέ γε τὴν κίνησιν οὐχ ὁμοίως, ἀλλ’ ἐναντίως μὲν τῇ δευτέρᾳ, τῇ δὲ πρώτῃ φερομένην ἐπὶ ταὐτὰ βραδεῖαν μὲν κίνησιν κινουμένην, περὶ ἄξονα δ’ οὖν στρεφομένην ὀρθὸν πρὸς τὸ ἐπίπεδον τοῦ κύκλου, ὃς ἐπινοηθείη ἂν ὑπὸ τοῦ κέντρου τῆς σελήνης γραφόμενος ἐγκεκλιμένος πρὸς τὸν διὰ μέσων τῶν ζῳδίων τοσοῦτον, ὅσον ἡ πλείστη κατὰ πλάτος τῇ σελήνῃ παραχώρησις γίνεται· φανερὸν δέ, ὅτι οἱ τῆς τρίτης σφαίρας πόλοι ἀπὸ τῶν τῆς δευτέρας διεστῶτες ἂν εἶεν περιφέρειαν ἐπὶ τοῦ δι’ ἀμφοῖν νοουμένου μεγίστου κύκλου, ἡλίκη ἐστὶν ἡ ἡμίσεια τοῦ πλάτους, ὃ κινεῖται ἡ σελήνη. Τὴν μὲν οὖν πρώτην ὑπέθετο σφαῖραν διὰ τὴν ἀπ’ ἀνατολῶν αὐτῆς ἐπὶ δυσμὰς περίοδον, τὴν δὲ δευτέραν διὰ τὴν ὑπὸ τὰ ζῴδια φαινομένην αὐτῆς ὑπόλειψιν, τὴν τρίτην δὲ διὰ τὸ μὴ ἐν τοῖς αὐτοῖς τοῦ ζῳδιακοῦ σημείοις βορειοτάτην τε καὶ νοτιωτάτην φαίνεσθαι γινομένην, ἀλλὰ μεταπίπτειν τὰ τοιαῦτα σημεῖα τῶν ζῳδίων ἀεὶ ἐπὶ τὰ προηγούμενα. Διὸ δὴ καὶ τὴν σφαῖραν ταύτην ἐπὶ ταὐτὰ τῇ τῶν ἀπλανῶν κινεῖσθαι, τῷ δὲ τὴν μετάπτωσιν παντάπασιν ὀλίγην γίνεσθαι καθ’ ἕκαστον μῆνα τῶν εἰρημένων σημείων βραδεῖαν αὐτῆς τὴν ἐπὶ δυσμῶν κίνησιν ὑπεστήσατο. Τοσαῦτα μὲν δὴ καὶ περὶ σελήνης, περὶ δὲ τῶν πέντε πλανήτων τὴν δόξαν ἐκτιθέμενος αὐτοῦ ὁ Ἀριστοτέλης διὰ τεττάρων σφαιρῶν τούτους κινεῖσθαί φησιν, ὧν ἡ πρώτη τε καὶ ἡ δευτέρα αἱ αὐταὶ καὶ τὴν αὐτὴν ἔχουσαι θέσιν ταῖς ἐπί τε ἡλίου καὶ σελήνης πρώταις δύο· ἥ τε γὰρ ἁπάσας περιέχουσα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθ’ ἕκαστον αὐτῶν ἐστι σφαῖρα περὶ τὸν ἄξονα τοῦ κόσμου στρεφομένη ἐπὶ δυσμὰς ἀπ’ ἀνατολῶν ἰσοχρονίως τῇ τῶν ἀπλανῶν, καὶ ἡ δευτέρα τοὺς πόλους ἐν τῇ πρώτῃ ἔχουσα περὶ ἄξονα καὶ πόλους τοῦ διὰ μέσων τῶν ζῳδίων ἔμπαλιν τὴν στροφὴν ποιεῖται ἀπὸ δυσμῶν ἐπ’ ἀνατολάς, ἐν ᾧ χρόνῳ ἕκαστος αὐτῶν δοκεῖ τὸν ζῳδιακὸν κύκλον διεξιέναι· διὸ ἐπὶ μὲν τοῦ τε Ἑρμοῦ ἀστέρος καὶ τοῦ Ἑωσφόρου ἐνιαυτῷ φησι τὴν τῆς δευτέρας σφαίρας συντελεῖσθαι, ἐπὶ δὲ τοῦ Ἄρεος ἔτεσι δυσίν, ἐπὶ δὲ τοῦ Διὸς δώδεκα ἔτεσι, ἐπὶ δὲ τοῦ Κρόνου τριάκοντα, ὃν Ἡλίου ἀστέρα οἱ παλαιοὶ προσηγόρευον. Αἱ δὲ λοιπαὶ δύο ὧδέ πως ἔχουσιν· ἡ μὲν τρίτη καθ’ ἕκαστον τοὺς πόλους ἔχουσα ἐπὶ τοῦ διὰ μέσων τῶν ζῳδίων τοῦ ἐν τῇ καθ’ ἕκαστον δευτέρᾳ σφαίρᾳ νοουμένου ἀπὸ μεσημβρίας ἐπὶ τὰς ἄρκτους ἐπιστρέφεται, ἐν ᾧ ἕκαστος χρόνῳ ἀπὸ φάσεως ἐπὶ τὴν ἐφεξῆς φάσιν παραγίνεται τὰς πρὸς ἥλιον ἁπάσας σχέσεις διεξιών, ὃν καὶ διεξόδου χρόνον οἱ ἀπὸ τῶν μαθημάτων καλοῦσιν. Ἔστι δὲ οὗτος ἄλλῳ ἄλλος, διὸ καὶ οὐκ ἰσοχρόνιος ἅπασιν ἡ τῆς τρίτης σφαίρας στροφή, ἀλλά, καθάπερ Εὔδοξος ᾤετο, τῷ μὲν Ἀφροδίτης ἀστέρι ἐν μησὶν ἐννεακαίδεκα, τῷ δὲ τοῦ Ἑρμοῦ ἐν ἡμέραις δέκα καὶ ἑκατόν, τῷ δὲ τοῦ Ἄρεος ἐν μησὶν ὀκτὼ καὶ ἡμέραις εἴκοσι, τῷ δὲ τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου ἑκατέρῳ ἔγγιστα ἐν μησὶ τρισκαίδεκα.

124 (100) Ἡ μὲν οὖν τρίτη σφαῖρα οὕτω καὶ ἐν τοσούτῳ χρόνῳ κινεῖται· ἡ δὲ τετάρτη σφαῖρα, ἥτις καὶ τὸ ἄστρον φέρει, περὶ λοξοῦ τινος κύκλου στρέφεται πόλους ἰδίους καθ’ ἕκαστον, ἐν ἴσῳ μέντοι χρόνῳ τὴν στροφὴν τῇ τρίτῃ ποιεῖται ἐναντίως ἐκείνῃ κινουμένη ἀπ’ ἀνατολῶν ἐπὶ δυσμάς· ὁ δὲ λοξὸς οὗτος κύκλος ἐγκεκλίσθαι πρὸς τὸν μέγιστον τῶν ἐν τῇ τρίτῃ σφαίρᾳ παραλλήλων λέγεται ὑπ’ αὐτοῦ οὐκ ἴσον οὐδὲ ταὐτὸν ἐφ’ ἁπάντων. Φανερὸν οὖν, ὅτι ἡ μὲν ὁμοίως τῇ τῶν ἀπλανῶν στρεφομένη πάσας τὰς λοιπάς, ἅτε ἐν ἀλλήλαις τοὺς πόλους ἐχούσας, ἐπιστρέφει ἐπὶ ταὐτά, ὥστε καὶ τὴν τὸ ἄστρον φέρουσαν καὶ αὐτὸ τὸ ἄστρον· καὶ διὰ ταύτην δὴ τὴν αἰτίαν ἀνατέλλειν τε καὶ δύνειν ὑπάρξει ἑκάστῳ αὐτῶν. Ἡ δὲ δευτέρα σφαῖρα τὴν ὑπὸ τὰ δώδεκα ζῴδια πάροδον αὐτῷ παρέξεται· στρέφεται γὰρ περὶ τοὺς τοῦ διὰ μέσων τῶν ζῳδίων πόλους καὶ συνεπιστρέφει τάς τε λοιπὰς δύο σφαίρας καὶ τὸν ἀστέρα ἐπὶ τὰ ἑπόμενα τῶν ζῳδίων, ἐν ᾧ χρόνῳ ἕκαστος δοκεῖ τὸν ζῳδιακὸν διανύειν κύκλον. Ἡ δὲ τρίτη σφαῖρα τοὺς πόλους ἔχουσα ἐπὶ τοῦ ἐν τῇ δευτέρᾳ διὰ μέσων τῶν ζῳδίων ἀπὸ μεσημβρίας τε πρὸς ἄρκτον στρεφομένη καὶ ἀπ’ ἄρκτου πρὸς μεσημβρίαν συνεπιστρέψει τὴν τετάρτην καὶ ἐν αὐτῇ τὸν ἀστέρα ἔχουσαν καὶ δὴ τῆς κατὰ πλάτος κινήσεως ἕξει τὴν αἰτίαν· οὐ μὴν αὐτὴ μόνη· ὅσον γὰρ ἐπὶ ταύτῃ καὶ πρὸς τοὺς πόλους τοῦ διὰ μέσων τῶν ζῳδίων ἧκεν ἂν ὁ ἀστὴρ καὶ πλησίον τῶν τοῦ κόσμου πόλων ἐγίνετο· νυνὶ δὲ ἡ τετάρτη σφαῖρα περὶ τοὺς τοῦ 〈τοῦ〉 ἀστέρος λοξοῦ κύκλου στρεφομένη πόλους ἐπὶ τἀναντία τῇ τρίτῃ ἀπ’ ἀνατολῶν ἐπὶ δυσμὰς καὶ ἐν ἴσῳ χρόνῳ τὴν στροφὴν αὐτῶν ποιουμένη τό τε ἐπὶ πλέον ὑπερβάλλειν τὸν διὰ μέσων τῶν ζῳδίων παραιτήσεται καὶ τὴν λεγομένην ὑπὸ Εὐδόξου ἱπποπέδην περὶ τὸν αὐτὸν τουτονὶ κύκλον τῷ ἀστέρι γράφειν παρέξεται, ὥστε, ὁπόσον τὸ τῆς γραμμῆς ταύτης πλάτος, τοσοῦτον καὶ ὁ ἀστὴρ εἰς πλάτος δόξει παραχωρεῖν, ὅπερ ἐγκαλοῦσι τῷ Εὐδόξῳ. Αὕτη μὲν ἡ κατὰ Εὔδοξον σφαιροποιία εἴκοσι καὶ ἓξ τὰς πάσας ἐπὶ τῶν ἑπτὰ παραλαμβάνουσα, ἓξ μὲν ἐπὶ ἡλίου καὶ σελήνης, εἴκοσι δὲ ἐπὶ τῶν πέντε. ALEX.

125 APHR. In Arstt. Met. comm. p. 703 Hayduck Τὸ δὲ «τὴν δὲ τρίτην κατὰ τὸν λελοξωμένον ἐν τῷ πλάτει τῶν ζῳδίων» (= Met. 1073 b 20—21 ) λελοξωμένον κύκλον ἐν τῷ πλάτει τῶν ζῳδίων ἔλεγεν, ὡς ἐν τῇ Περὶ οὐρανοῦ εἴρηται, ὃν δοκεῖ ὁ ἥλιος τῷ ἑαυτοῦ κέντρῳ γράφειν φερόμενος ὑπὸ τῆς ἐν ᾗ δέδεται σφαίρας, ὃς καὶ δοκεῖ ἐκπίπτειν τὰ τροπικὰ σημεῖα διὰ τὸ μὴ ἀεί, ὅταν τὰς τροπὰς ὁ ἥλιος ποιῆται, ὁρᾶσθαι ἀπὸ τῶν αὐτῶν τόπων ἀνατέλλων. Τὸ δὲ «ἐν μείζονι δὲ πλάτει λελοξῶσθαι καθ’ ὃν ἡ σελήνη φέρεται ἢ καθ’ ὃν ὁ ἥλιος» (= Met. ib. 21—22) ἴσον ἐστὶ τῷ τὸ δὲ πλάτος τῆς λοξώσεως τοῦ κύκλου, ὃν ἡ σελήνη τῷ ἑαυτῆς κέντρῳ γράφειν δοκεῖ, μεῖζόν ἐστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ πλάτους τῆς λοξώσεως τοῦ κύκλου, ὃν ὁ ἥλιος τῷ οἰκείῳ κέντρῳ γράφειν δοκεῖ· κατείληπτο γὰρ καὶ τοῦτο ἐκ τοῦ μὴ ἐκ τῶν αὐτῶν τόπων τὰς ἀνατολὰς ἐν ταῖς τροπαῖς τὸν ἥλιον καὶ τὴν σελήνην ποιεῖσθαι. SIMPLIC. [10]

126 In Arstt. De Caelo comm. p. 504 Heiberg Τοιαύτη τίς ἐστιν ἡ διὰ τῶν ἀνελιττουσῶν σφαιροποιία μὴ δυνηθεῖσα διασῶσαι τὰ φαινόμενα, ὡς καὶ ὁ Σωσιγένης ἐπισκήπτει λέγων· «Οὐ μὴν αἵ γε τῶν περὶ Εὔδοξον σῴζουσι τὰ φαινόμενα, οὐχ ὅπως τὰ ὕστερον καταληφθέντα, ἀλλ' οὐδὲ τὰ πρότερον γνωσθέντα καὶ ὑπ' αὐτῶν ἐκείνων πιστευθέντα. Καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν, ὧν ἔνια καὶ Κάλλιππος ὁ Κυζικηνὸς Εὐδόξου μὴ δυνηθέντος ἐπειράθη διασῶσαι, εἴπερ ἄρα καὶ διέσωσεν;» ΠΕ]ΡΙ ΑΦΑΝΙΣΜ[ΩΝ] ΗΛΙΑ[ΚΩΝ PHILODEM. [5]

127 Π. θεῶν A col. XXI, 27 τ]ῶν ἀντιλογικῶν δ' Εὔδοξο[ν ὁ Διο]γένης κάμηλ[ο]ν μέγι[στο]ν ἔλε[γεν· ὁ] δ' ἐ[ν] τῷ [Πε]ρὶ ἀφανισμ[ῶν] ἡλια[κῶν εἶ]πε συγκρε[ίν]ειν [εἶναι ἀδύ]νατ[ον, ἣν τ]ῶν ὁ[μοίων διστ]άσ[ης εἰ το]ῦτο μᾶλλον [ἢ τ]οῦτ' αἴτιον. LEPTIN.

128 Οὐράνιος διδασκαλία (vulg. Ars Eudoxi ) col. XIV, 7 Δύντος τοῦ ἡλίου, οὐκ εὐθέως φαίνεται τὰ ἄστρα, ἀλλ' ὅταν ὁ ἥλιος ἀπὸ τοῦ ὁρίζοντος ἀποσχῇ ἥμισυ ζῳδίου, τότε φαίνεται τὰ ἄστρα, ὅ ἐστιν ὥρας ς . Ἀπόδειξις· δύντος τοῦ ἡλίου, ἄφες ὕδωρ διὰ κλεψύδρας διαρρεῖν εἰς ἀγγεῖόν τι, ἕως ἀνατείλῃ τὰ ἄστρα· τῇ δὲ ἐχομένῃ τὸ αὐτὸ ὕδωρ τῷ αὐτῷ τρόπῳ ἅπαν ἀπορρεῖν, τῶν ἄστρων ἀνατεταλκότων, ἅμα τῷ ὕδατι καὶ τὸ ζῴδιον ὅλον ἀπολείψει. «ΟΚΤΑΕΤΗΡΙΣ» Καὶ ἔσχε πρὸς ἀστρολογίαν ὑπερφυῶς ἔγραψέ τε πλεῖστα τοῦ εἴδους τούτου· καὶ Ὀκταετηρίδα, Καὶ τέτταρας μῆνας πρὸς ἐνιαυτῷ διατρίψαντ' αὐτόθι ξυρόμενόν τε ἥβην καὶ ὀφρῦν τὴν Ὀκταετηρίδα κατά τινας συγγράψαι. [5]

132 ACHILL. Isagog. Arat. phaen. 19 p. 47 Maass Λέγεται δὲ ἐνιαυτὸς ἡ ἀπὸ ζῳδίου ἐπὶ ζῴδιον ἀποκατάστασις αὐτοῦ ἐν ἡμέραις τξε' καὶ ἐλαχίστῳ μορίῳ. Ἀπὸ δὲ σημείου ἐπὶ σημεῖον ἀποκαθίσταται ἐν ὀκταετηρίδι, 〈ὡς μὲν λέγει Εὔδοξος ἐν τῇ Ὀκταετηρίδι〉 , εἴγε γνήσιόν ἐστι τὸ σύγγραμμα (Ἐρατοσθένης γὰρ ἀντέγραψεν δεικνὺς ὡς οὐκ εἴη Εὐδόξου), κατὰ δέ τινας ἐν 〈ἓξ καὶ〉 ἑβδομήκοντα ἔτεσιν, ἧς δόξης ἐστὶ καὶ Κάλλιππος, κατὰ δὲ Μέτωνα δι' ἐννεακαιδεκαετηρίδος. SUD. [5]

133 K 2454 Κρίτων (IV), Νάξιος, ἱστορικός. Ἔγραψεν Ὀκταετηρίδα, ἣν Εὐδόξου φασί. LEPTIN.

137 (n1) (?) Acrostichis iambica in averso volumine descripta quod Οὐράνιος διδασκαλία (vulg. Ars Eudoxi ) inscribitur (P. Par. 1) Ἐ ν τῷδε δείξω πᾶσιν ἐκμαθεῖν σοφήν Ὑ μῖν πόλου σύνταξιν ἐν βραχεῖ λόγῳ Δ οὺς τῆσδε τέχνης εἰδέναι σαφῆ πέρι. Ο ὐδεὶς γάρ ἐστιν ἐνδεὴς γνώμης ὅτῳ Ξ ένον φανεῖται τῷδ' ἐὰν ξυνῇ καλῶς. Ὁ μὲν στίχος μεῖς ἐστί, γράμμα δ' ἡμέρα. Ὑ μῖν ἀριθμὸν δ' ἴσον ἔχει τὰ γράμματα Τ αῖς ἡμέραισιν ἃς ἄγει μέγας χρόνος, Ἐ νιαύσιον βροτοῖσι περίοδον τ' ἔχει Χ ρόνος διοικῶν ἀστέρων γνωρίσματα. Ν ικᾷ δὲ τούτων οὐθεὶς ἕτερον, ἀλλ' ἀεί Ἥ κει τὰ πάντα ἐς τὸ αὐτὸ ὅτ' ἀνέλθῃ ὁ χρόνος. GEMIN. [10]

139 Elem. astron. 17, 47 Λαμβάνει (sc. Ἄρατος) γὰρ τὰς προγνώσεις ἀπὸ τῆς τοῦ ἡλίου ἀνατολῆς καὶ δύσεως, καὶ ἀπὸ τῶν τῆς σελήνης ἀνατολῶν καὶ δύσεων, καὶ ἀπὸ τῆς ἅλω τῆς γινομένης περὶ τὴν σελήνην, καὶ ἀπὸ τῶν διαϊσσόντων ἀστέρων, καὶ ἀπὸ τῶν ἀλόγων ζῴων. 48 Αἱ γὰρ ἀπὸ τούτων προγνώσεις μετά τινος φυσικῆς αἰτίας γινόμεναι κατηναγκασμένα ἔχουσι τὰ ἀποτελέσματα. Ὅθεν καὶ Βόηθος ὁ φιλόσοφος ἐν τῷ τετάρτῳ βιβλίῳ τῆς Ἀράτου ἐξηγήσεως φυσικάς τινας αἰτίας ἀποδέδωκε τῶν τε πνευμάτων καὶ ὄμβρων, ἐκ τῶν προειρημένων εἰδῶν τὰς προγνώσεις ἀποφαινόμενος. 49 Τούτοις δὲ τοῖς σημείοις καὶ Ἀριστοτέλης ὁ φιλόσοφος κέχρηται καὶ Εὔδοξος καὶ ἕτεροι πλείονες τῶν ἀστρολόγων. Eodem ex fonte fluxisse videtur JOH. DIACON. In Hes. Theog. alleg. p. 571 Gaisford Κατὰ διαφόρους ἐπιτολὰς καὶ δύσεις ἄλλων

καὶ ἄλλων ἄστρων, καὶ ἐκ διαφόρων μερῶν τοῦ παντὸς οἱ ἄνεμοι πνέουσιν, ὡς Ἀριστοτέλης τε δηλοῖ ἐν τῷ δευτέρῳ τῶν Μετεώρων (351 b 30 ) καὶ Ἄρατος ὁ ποιητὴς καὶ Εὔδοξος. SEXT.

141 EMP. Adv. math. V 1 Περὶ ἀστρολογίας ἢ μαθηματικῆς πρόκειται ζητῆσαι οὔτε τῆς τελείου ἐξ ἀριθμητικῆς καὶ γεωμετρίας συνεστώσης (ἀντειρήκαμεν γὰρ πρὸς τοὺς ἀπὸ τούτων τῶν μαθημάτων) οὔτε τῆς παρὰ τοῖς περὶ Εὔδοξον καὶ Ἵππαρχον καὶ τοὺς ὁμοίους προρρητικῆς δυνάμεως, ἣν δὴ καὶ ἀστρονομίαν τινὲς καλοῦσι (2τήρησις γάρ ἐστιν ἐπὶ φαινομένοις ὡς γεωργία καὶ κυβερνητική, ἀφ’ ἧς ἔστιν αὐχμούς τε καὶ ἐπομβρίας λοιμούς τε καὶ σεισμοὺς καὶ ἄλλας τοιουτώδεις τοῦ περιέχοντος μεταβολὰς προθεσπίζειν), ἀλλὰ πρὸς γενεθλιαλογίαν, ἣν σεμνοτέροις κοσμοῦντες ὀνόμασιν οἱ Χαλδαῖοι μαθηματικοὺς καὶ ἀστρολόγους σφᾶς αὐτοὺς ἀναγορεύουσιν, ποικίλως μὲν ἐπηρεάζοντες τῷ βίῳ, μεγάλην δ’ ἡμῖν ἐπιτειχίζοντες δεισιδαιμονίαν, μηδὲν δὲ ἐπιτρέποντες κατὰ τὸν ὀρθὸν λόγον ἐνεργεῖν. AET.

142 PLACIT. II 19 3 p. 347 Diels ap. PLUT. Placit. philos. epit. II 19 Εὔδοξος Ἄρατος κοινῶς διὰ πάντας τοὺς ἀστέρας (sc. significationes esse), ἐν οἷς φησίν· seq. Phaen. vv. 10—12, et ap. STOB. Ecl. I 24 1 Εὔδοξος καὶ Ἄρατος τὰς ἐπισημασίας κατὰ τὰς τῶν ἄστρων ἐπιτολὰς γίνεσθαι. Λέγει γοῦν Ἄρατος ἐν τοῖς Φαινομένοις οὕτως· vv. 10—12. PTOLEM.

143 Phas. epilegomena (ad calcem JO. LYD. De ost. pp. 199 ss.) p. 275 Καὶ τούτων ἀνέγραψα τὰς ἐπισημασίας 〈καὶ〉 κατέταξα κατά τε Αἰγυπτίους καὶ Δοσίθεον, Φίλιππον, Κάλλιππον, Εὐκτήμονα, Μέτωνα, Κόνωνα, Μητρόδωρον, Εὔδοξον, Καίσαρα, Δημόκριτον (VS 68 B 14, 7), Ἵππαρχον. Τούτων δὲ Αἰγύπτιοι ἐτήρησαν παρ’ ἡμῖν, ... Εὔδοξος ἐν Ἀσίᾳ καὶ Σικελίᾳ καὶ Ἰταλίᾳ .... Διὸ δὴ μάλιστα ἄν τις ἐφαρμόζοι τὰς μὲν τῶν Αἰγυπτίων ἐπισημασίας ταῖς περὶ τοῦτον τὸν παράλληλον χώραις, ... τὰς δὲ Καλλίππου καὶ Εὐδόξου καὶ Μέτωνος καὶ Εὐκτήμονος καὶ Μητροδώρου καὶ Κόνωνος κοινῶς, καθ’ οὓς ἀπὸ ιδ ϛʹʹ ὡρῶν ἰσημερινῶν ἕως ιε διατείνει τὸ μέγεθος τῶν μεγίστων ἡμερῶν. CALENDARIUM ANON.

147a ad calcem GEMIN. Elem. astron. p. 212 Manitius (Καρκίνου·) 〈ἐν δὲ τῇ〉 κζ ... Εὐδόξῳ Κύων ἑῷος ἐπιτέλλει· καὶ τὰς ἑπομένας ἡμέρας νεʹ ἐτησίαι πνέουσιν· αἱ δὲ πέντε αἱ πρῶται πρόδρομοι καλοῦνται. PTOLEM.

147b Phas. ad calc. JO. LYD. De ost. p. 268 Wachsmuth (ed. alt.) Epiphi λ · Εὐδόξῳ ἐτησίαι πνέουσιν. CALENDAR.

148a ap. GEMIN. p. 212 (Καρκίνου·) 〈ἐν δὲ τῇ〉 λα Εὐδόξῳ νότος πνεῖ. PTOLEM.

148b ibid. p. 268 Mesori α · Αἰγυπτίοις ζέφυρος ἢ νότος. Εὐδόξῳ 〈καὶ〉 Καίσαρι νότος. — —p.

149 269 Mesori ε · Αἰγυπτίοις καῦμα, Εὐδόξῳ νοτία καὶ ὀπώρας ἀρχή. CALENDAR.

150a ap. GEMIN. p. 212 (Λέοντος·) ἐν δὲ τῇ ε Εὐδόξῳ Ἀετὸς ἑῷος δύνει. PTOLEM.

150b ibid. p. 269 Mesori ϛ · ... Αἰγυπτίοις ἀργεστὴς ἢ ζέφυρος καὶ καῦμα, Εὐδόξῳ ἐτησίαι πνέουσιν. — —p.

151 270 Mesori ι · ... Εὐδόξῳ καὶ Δοσιθέῳ νοτία. CALENDAR.

152a ap. GEMIN. p. 212 (Λέοντος·) ἐν δὲ τῇ ι ἡμέρᾳ Εὐδόξῳ Στέφανος 〈ἑῷοσ〉 δύνει. PTOLEM.

152b ibid. p. 270 Mesori ια · ... Εὐδόξῳ καῦμα μέγα. CALENDAR.

153 ap. GEMIN. p 212 (Λέοντος·) ἐν δὲ τῇ ις ἡμέρᾳ Εὐδόξῳ ἐπισημαίνει. PTOLEM.

154 ibid. p. 270 Mesori ιη · ... Αἰγυπτίοις βρονταί, Εὐδόξῳ ἄνεμος μέγιστος. CALENDAR.

155 ap. GEMIN. p. 214 (Λέοντος·) ἐν δὲ τῇ ιη Εὐδόξῳ Δελφὶς ἑῷος δύνει. — —p.

156 214 (Λέοντος·) ἐν δὲ τῇ κβ Εὐδόξῳ Λύρα ἑῷος δύνει· καὶ ἐπισημαίνει. PTOLEM.

157 ibid. p. 271 Mesori κδ · ... Εὐδόξῳ ἐπισημαίνει. — —p.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

158 272 Mesori κθ · ... Αἰγυπτίοις 〈καὶ〉 Καίσαρι ἐπισημαίνει, δυσαερία. Εὐδόξῳ βροντᾶν εἴωθεν. CALENDAR.

159 ap. GEMIN. p. 214 (Λέοντος·) ἐν δὲ τῇ κθ Εὐδόξῳ ἐπισημαίνει. PTOLEM.

160 ibid. p. 272 intercal. α · ... Εὐδόξῳ καὶ Μητροδώρῳ ἐπισημαίνει. — —p.

161 272 intercal. β · ... Αἰγυπτίοις καῦμα, Εὐδόξῳ 〈καὶ〉 Καίσαρι ἐπισημαίνει. — —p.

162 211 Thoth α · ... Εὐδόξῳ ὑετίαι, βρονταί, ἐτησίαι παύονται. CALENDAR.

163 ap. GEMIN. p. 214 (Παρθένου·) ἐν μὲν οὖν τῇ ε ἡμέρᾳ Εὐδόξῳ ἄνεμος μέγας πνεῖ, καὶ ἐπιβροντᾷ. PTOLEM.

164 ibid. p. 211 Thoth γ · ... Αἰγυπτίοις ἐτησίαι παύονται, Εὐδόξῳ ἄνεμοι μεταπίπτοντες. — —p.

165 212 Thoth ς · ... Αἰγυπτίοις ὀμίχλη καὶ καῦμα ἢ ὑετὸς ἢ βροντή, Εὐδόξῳ ἄνεμος, βροντή, δυσαερία. CALENDAR.

166a ap. GEMIN. p. 214 (Παρθένου·) ἐν δὲ τῇ ι ἡμέρᾳ ... Εὐδόξῳ ὑετός, βρονταί· ἄνεμος μέγας πνεῖ. PTOLEM.

166b ibid. p. 212 Thoth ζ · ... Εὐδόξῳ ὑετός, βρονταί, ἄνεμος μεταπίπτων. JO.

167 LYD. De mens. IV 126 Τῇ πρὸ ὀκτὼ Εἰδῶν Σεπτεμβρίων Εὔδοξος τὸν Ἵππον δύεσθαι καὶ ζέφυρον ἢ ἀργεστὴν πνεῖν σημειοῦται. PTOLEM.

168 ibid. p. 213 Thoth ιε · Εὐδόξῳ ἄνεμοι νότιοι. CALENDAR.

169a ap. GEMIN. p. 214 (Παρθένου·) ἐν δὲ τῇ ιθ Εὐδόξῳ Ἀρκτοῦρος ἑῷος ἐπιτέλλει· καὶ τὰς ἑπομένας ἡμέρας ζ′ 〈ἄνεμοι〉 πνέουσιν· εὐδία ὡς 〈ἐπὶ〉 τὰ πολλά· λήγοντος δὲ τοῦ χρόνου ἀπ’ ἠοῦς πνεῦμα γίνεται. PTOLEM.

169b ibid. p. 214 Thoth κα · ... Αἰγυπτίοις ζέφυρος ἢ λίψ, ὀψὲ ἀπηλιώτης, Εὐδόξῳ μετόπωρον ἄρχεται. — —p.

170 213 Thoth ιζ · ... Εὐδόξῳ βορέαι παύονται. — —p.

171 214 Thoth κβ · ... Αἰγυπτίοις ζέφυρος ἢ ἀργεστὴς καὶ ψακάς, Εὐδόξῳ νοτία. — —p.

172 215 Thoth κς · ... Εὐδόξῳ ὑετός. LEPTIN.

173a Οὐρ. διδ. XXII 24 Εὐδόξῳ, Δημοκρίτῳ ἀπὸ τ[ρο]πῶν θερινῶν εἰς ἰσημ[ερί]αν [με]θοπωρινὴν ἡ[μέρα]ι ρα′, Εὐκτήμονι ϙ′, Καλλίππῳ ϙβ′. PTOLEM.

173b ibid. p. 215 Thoth κη · μετοπωρινὴ ἰσημερία. Αἰγυπτίοις καὶ Εὐδόξῳ ἐπισημαίνει. CALENDAR.

174b ap. GEMIN. p. 216 (Ζύγου·) ἐν δὲ τῇ δ Εὐδόξῳ Αἲξ ἀκρόνυχος ἐπιτέλλει. PTOLEM.

176 ibid. p. 216 Phaophi β · ... Εὐδόξῳ καὶ Εὐκτήμονι ἐπισημαίνει. CALENDAR.

177a ap. GEMIN. p. 216 (Ζύγου·) ἐν δὲ τῇ η Εὐδόξῳ Πλειάδες 〈ἀκρόνυχοι〉 ἐπιτέλλουσιν. PTOLEM.

177b ibid. p. 216 Phaophi ε · ... Εὐδόξῳ ὑετός. JO.

178 LYD. De mens. IV 136 Τῇ πρὸ ἓξ Νωνῶν Ὀκτωβρίων Εὔδοξος περὶ τὴν ἑσπέραν βροχὴν ἔσεσθαι ὑπολαμβάνει. CALENDAR.

179a ap. GEMIN. p. 216 (Ζύγου·) ἐν δὲ τῇ ι Εὐδόξῳ 〈Στέφανοσ〉 ἑῷος ἐπιτέλλει. PTOLEM.

179b ibid. p. 217 Phaophi ζ · ... Αἰγυπτίοις ὑετοί, χειμαίνει, Εὐδόξῳ ὑετὸς καὶ ἄνεμος μεταπίπτων. CALENDAR.

180a ap. GEMIN. p. 216 (Ζύγου·) ἐν δὲ τῇ ιβ ἡμέρᾳ Εὐδόξῳ Σκορπίος ἀκρόνυχος ἄρχεται δύνειν· καὶ χειμὼν ἐπιγίνεται καὶ ἄνεμος μέγας πνεῖ. JO.

180b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

LYD. De mens. IV 139 Τῇ πρὸ μιᾶς Νωνῶν Ὀκτωβρίων ὁ Δημόκριτος (VS 68 B 14, 8) τοὺς Ἐρίφους ἀνίσχειν καὶ βορρᾶν πνεῖν διισχυρίζεται, ὁ δὲ Εὔδοξος δύεσθαι τὸ μέσον τοῦ Κριοῦ λέγει. PTOLEM.

181 ibid. p. 218 Phaophi ιβ · ... Αἰγυπτίοις ζέφυρος ἢ λίψ, Εὐδόξῳ ἐπισημαίνει. CALENDAR.

182a ap. GEMIN. p. 216 (Ζύγου·) ἐν δὲ τῇ ιζ Εὐδόξῳ Σκορπίος ἀκρόνυχος ὅλος δύνει. PARAPEGMA MILES.

182b (H. Diels u. A. Rehm, Berl. Sitzber. 1904 107ff.) D I 3 [Σκορπίος ἀκρώνυ]χος δύνει' [κατ' Εὔδοξον κ]αὶ Αἰγυπτίους. PTOLEM.

182c ibid. p. 218 Phaophi ιδ · Δοσιθέῳ καὶ Εὐδόξῳ ἐπισημαίνει. CALENDAR.

183a ap. GEMIN. p. 218 (Ζύγου·) ἐν δὲ τῇ ιθ Εὐδόξῳ βορέαι καὶ νότοι πνέουσιν. PARAPEGMA MILES.

183b D I 5 [Βορέας κα]ὶ νότος πνεῖ κατ' Εὔδοξον [καὶ Αἰγ]υπτίους. PTOLEM.

183c ibid. p. 218 Phaophi ις · ... Εὐδόξῳ βορέαι ἢ νότοι. — —p.

184 218 Phaophi ιζ · ... Αἰγυπτίοις βορέας ἢ λίψ, Εὐδόξῳ ἐπισημαίνει. CALENDAR.

185a ap. GEMIN. p. 218 (Ζύγου·) ἐν δὲ τῇ κβ Εὐδόξῳ Ὑάδες ἀκρόνυχοι ἐπιτέλλουσιν. PARAPEGMA MILES.

185b D I 10 [Ὑάδ]ες ἀκρώνυχοι ἐπιτέλλουσιν [κατ' Εὔ]δοξον καὶ Αἰγυπτίους. PTOLEM.

185c ibid. p. 218 Phaophi ιθ · Εὐδόξῳ ἀνέμων μεταβολαί, βρονταί. CALENDAR.

186a ap. GEMIN. p. 218 (Ζύγου·) ἐν δὲ τῇ κθ Εὐδόξῳ βορέας καὶ νότος πνέουσιν. PTOLEM.

186b ibid. p. 219 Phaophi κς · ... Εὐδόξῳ ἐπισημαίνει. CALENDAR.

187a ap. GEMIN. p. 218 (Σκορπίου·) ἐν δὲ τῇ η Εὐδόξῳ Ἀρκτοῦρος ἀκρόνυχος δύνει· καὶ ἐπισημαίνει· καὶ ἄνεμος πνεῖ. PTOLEM.

187b ibid. p. 221 Athyr ε · ... Κόνωνι καὶ Εὐδόξῳ ἀκρασία πνευμάτων. — —p.

188 221 Athyr ζ · ... Αἰγυπτίοις νότος λάβρος μεταξὺ ζεφύρου, Εὐδόξῳ βορέας ἢ νότος. CALENDAR.

189 ap. GEMIN. p. 220 (Σκορπίου·) ἐν δὲ τῇ ιβ Εὐδόξῳ Ὠρίων ἀκρόνυχος ἄρχεται ἐπιτέλλειν. — —p.

190 220 (Σκορπίου·) ἐν δὲ τῇ ιδ Εὐδόξῳ ὑετία. — —p.

191 220 (Σκορπίου·) ἐν δὲ τῇ ιη Εὐδόξῳ Σκορπίος ἄρχεται ἐπιτέλλειν ἑῷος. — —p.

192a 220 (Σκορπίου·) ἐν δὲ τῇ ιθ Εὐδόξῳ Πλειάδες ἑῷαι δύνουσι, καὶ Ὠρίων ἄρχεται δύνειν 〈ἑῷοσ〉 · καὶ χειμάζει. PTOLEM.

193a ibid. p. 223 Athyr ιζ · ... Εὐδόξῳ χειμῶνος ἀρχὴ καὶ ἐπισημαίνει. JO.

193b LYD. De mens. IV 149 [Τῇ πρὸ ἑπτὰ Εἰδῶν Νοεμ]βρίων ... Ἐκ ταύτης τῆς ἡμέρας [Εὔ]δοξος χειμῶνα λέγε[ι]. CALENDAR.

194 ap. GEMIN. p. 220 (Σκορπίου·) ἐν δὲ τῇ κα Εὐδόξῳ Λύρα ἑῷος ἐπιτέλλει. PTOLEM.

195 ibid. p. 224 Athyr κα · ... Αἰγυπτίοις βορέας δι' ἡμέρας καὶ νυκτός, Εὐδόξῳ ὑετός. — —p.

196 224 Athyr κγ · ... Εὐδόξῳ χειμέριος περίστασις. — —p.

197 225 Athyr κδ · ... Αἰγυπτίοις χειμέριος περίστασις, Εὐδόξῳ βορέας ψυχρός. CALENDAR.

198a ap. GEMIN. p. 220 (Σκορπίου·) ἐν δὲ τῇ κθ Εὐδόξῳ Ὑάδες 〈ἑῷαι〉 δύνουσι· καὶ χειμαίνει σφόδρα. PARAPEGMA MILES.

198b D II 9 Ὑάδε[ς ἑῶιαι δύνουσι, χειμὼν] σφοδ[ρὸς κατ'' Εὔδοξον]. PTOLEM.

198c ibid. p. 225 Athyr κς · ... Εὐδόξῳ χειμὼν σφοδρός. PARAPEGMA MILES.

199a D II 11 Χειμ[έριος ὁ ἀὴρ κατ' Εὔδοξον]. PTOLEM.

199b ibid. p. 225 Athyr κζ · ... Αἰγυπτίοις καὶ Ἱππάρχῳ νότος πυκνός· Εὐδόξῳ καὶ Κόνωνι χειμέριος ὁ ἀήρ· Καλλίππῳ ὑετία. — —p.

200 227 Choiak α · ... Αἰγυπτίοις νότος καὶ ὑετός· Εὐδόξῳ ἀκρασία ἀέρος. CALENDAR.

201a ap. GEMIN. p. 222 (Τοξότου·) ἐν 〈δὲ〉 τῇ η Εὐδόξῳ Ὠρίων ἑῷος δύνει. PTOLEM.

201b ibid. p. 228 Choiak ε · ... Καίσαρι καὶ Εὐκτήμονι καὶ Εὐδόξῳ καὶ Καλλίππῳ χειμών. — —p.

202 229 Choiak η · ... Αἰγυπτίοις ψακάζει· Καίσαρι καὶ Εὐκτήμονι καὶ Εὐδόξῳ χειμών. CALENDAR.

203 ap. GEMIN. p. 222 (Τοξότου·) ἐν δὲ τῇ ιβ Εὐδόξῳ Κύων ἑῷος δύνει· χειμαίνει. JO.

204a LYD. De mens. IV 155 Κατὰ δὲ τὴν ἑξῆς (sc. a. d. IV Non. Decemb.) ὁ Εὔδοξος τὸν Τοξότη[ν ἀνί]σχειν καὶ χειμῶνα προλέγει. PTOLEM.

204b ibid. p. 229 Choiak ι · ... Αἰγυπτίοις λὶψ ἢ νότος· Εὐδόξῳ καὶ Δοσιθέῳ χειμέριος ἀήρ. CALENDAR.

205a ap. GEMIN. p. 222 (Τοξότου·) ἐν δὲ τῇ ιδ Εὐδόξῳ ὑετός. PTOLEM.

205b ibid. p. 229 Choiak ια · ... Εὐδόξῳ ὑετός. — —p.

206 229 Choiak ιβ · ... Εὐκτήμονι καὶ Εὐδόξῳ καὶ Καλλίππῳ χειμέριος ἀὴρ καὶ ὑετία. CALENDAR.

207a ap. GEMIN. p. 222 (Τοξότου·) ἐν δὲ τῇ ις ... Εὐδόξῳ Κύων ἀκρόνυχος ἐπιτέλλει· ὑετία. PTOLEM.

207b ibid. p. 230 Choiak ιγ · ... Εὐκτήμονι καὶ Εὐδόξῳ καὶ Καλλίππῳ χειμέριος ἀὴρ καὶ ὑετία. — —p.

208 230 Choiak ιε · Αἰγυπτίοις ἀργεστὴς ψυχρὸς ἢ νότος καὶ ὄμβρος· Καλλίππῳ νότος καὶ ἐπισημαίνει· Εὐδόξῳ χειμέριος ἀήρ. CALENDAR.

209 ap. GEMIN. p. 222 (Τοξότου·) ἐν δὲ τῇ ιθ Εὐκτήμονι Εὐδόξῳ δύνει. — —p.

210a 222 (Τοξότου·) ἐν δὲ τῇ κα Εὐδόξῳ Σκορπίος ἑῷος 〈ὅλοσ〉 ἐπιτέλλει, καὶ χειμαίνει. PTOLEM.

210b ibid. p. 231 Choiak ιη · ... Αἰγυπτίοις ὑετία μετὰ πνευμάτων, Εὐδόξῳ χειμάζει. CALENDAR.

211 ap. GEMIN. p. 222 (Τοξότου·) ἐν δὲ τῇ κγ Εὐδόξῳ Αἲξ ἑῴα δύνει. — —p.

212a 222 (Τοξότου·) ἐν δὲ τῇ κς Εὐδόξῳ Ἀετὸς ἑῷος ἐπιτέλλει. PTOLEM.

212b ibid. p. 231 Choiak κγ · ... Αἰγυπτίοις καὶ Εὐδόξῳ καὶ Δοσιθέῳ λὶψ ἢ νότος. — —p.

213 231 Choiak κδ · ... Εὐδόξῳ χειμερινὸς ἀήρ. CALENDAR.

214a ap. GEMIN. p. 224 (Αἰγόκερω·) ἐν δὲ τῇ δ Εὐδόξῳ τροπαὶ χειμεριναί· χειμαίνει. LEPTIN.

214b Οὐρ. διδ. XXII 21 Εὐδόξῳ, Δημοκρίτῳ (VS 68 B 14, 2) χειμεριναὶ τροπαὶ Ἀθὺρ ὁτὲ μὲν κ ὁτὲ δὲ θι . — —XXIII 3 Ἀπὸ ἰσημερίας μεθοπωρινῆς ἐπὶ χειμερινὰς τροπὰς Εὐδόξῳ ἡμέραι ϙβʹ, Δημοκρίτῳ ἡμέραι ϙαʹ, Εὐκτήμονι ἡμέραι ϙʹ, Καλλίππῳ πθʹ.

214d GEMIN. Elem. astron. 8 20 Ὑπολαμβάνουσι γὰρ οἱ πλεῖστοι τῶν Ἑλλήνων ἅμα τοῖς Ἰσίοις κατ' Αἰγυπτίους καὶ κατ' Εὔδοξον εἶναι χειμερινὰς τροπάς, ὅπερ ἐστὶ παντάπασι ψεῦδος· μηνὶ γὰρ ὅλῳ παραλλάσσει τὰ Ἴσια πρὸς τὰς χειμερινὰς τροπάς. 21 Ἐρρύη δὲ τὸ ἁμάρτημα ἀπὸ τῆς προειρημένης αἰτίας. Πρὸ γὰρ ρκʹ ἐτῶν συνέπεσε κατ' αὐτὰς τὰς χειμερινὰς τροπὰς ἄγεσθαι τὰ Ἴσια. Ἐν ἔτεσι δὲ τέσσαρσι μιᾶς ἡμέρας ἐγένετο παράλλαγμα. Τοῦτο οὖν οὐκ αἰσθητὴν ἔσχε παραλλαγὴν πρὸς τὰς κατ' ἔτος ὥρας. Ἐν ἔτεσι δὲ μʹ ἡμερῶν δέκα ἐγένετο παράλλαγμα. Οὐδ' οὕτως αἰσθητὴν εἶναι συμβαίνει τὴν παραλλαγήν. 22 Νυνὶ μέντοι γε μηνιαίας γινομένης παραλλαγῆς ἐν ρκʹ ἔτεσιν, ὑπερβολὴν οὐκ ἀπολείπουσιν ἀγνοίας οἱ διαλαμβάνοντες ἐν τοῖς Ἰσίοις κατ' Αἰγυπτίους καὶ κατ' Εὔδοξον τὰς χειμερινὰς τροπὰς εἶναι. Μιᾷ μὲν γὰρ ἡμέρᾳ ἢ δυσὶ διενεχθῆναι ἐνδεχόμενόν ἐστι, μηνιαῖον δὲ παράλλαγμα ἀδύνατόν ἐστι λαθεῖν ... 24 Ὅθεν τὰ Ἴσια πρότερον μὲν ἤγετο κατὰ τὰς χειμερινὰς τροπάς, καὶ πρότερον δ' ἔτι κατὰ τὰς θερινὰς τροπάς, ὡς καὶ Ἐρατοσθένης ἐν τῷ Περὶ τῆς Ὀκταετηρίδος ὑπομνήματι μνημονεύει. PTOLEM.

[15]

214e ibid. p. 233 Choiak λ · ... Αἰγυπτίοις λὶψ καὶ ἀκρασία ἀέρος, Εὐδόξῳ καὶ Μητροδώρῳ χειμέριος ἀήρ. — —p.

215 233 Tybi α · ... Εὐδόξῳ ἐπισημαίνει. CALENDAR.

216 ap. GEMIN. p. 224 (Αἰγόκερω·) ἐν δὲ τῇ θ Εὐδόξῳ Στέφανος ἀκρόνυχος δύνει. — —p.

217 224 (Αἰγόκερω·) ἐν δὲ τῇ ιβ Δημοκρίτῳ νότος πνεῖ ὡς 〈ἐπὶ τὰ πολλά (VS 68 B 14, 3)· Εὐδόξῳ Δελφὶς ἑῷοσ〉 ἐπιτέλλει. PTOLEM.

218 ibid. p. 235 Tybi ιβ · ... Ἱππάρχῳ καὶ Εὐδόξῳ χειμαίνει. CALENDAR.

219a ap. GEMIN. p. 224 (Αἰγόκερω·) ἐν δὲ τῇ ιη 〈Εὐδόξῳ Ἀετὸσ〉 ἀκρόνυχος δύνει· καὶ νότος πνεῖ. PTOLEM.

219b ibid. p. 235 Tybi ιδ · ... Αἰγυπτίοις καὶ Εὐδόξῳ νότος σφοδρὸς καὶ ὑετός. — —p.

220 236 Tybi ις · ... Εὐδόξῳ καὶ Δοσιθέῳ νότος, ἐπισημαίνει. JO.

221a LYD. De mens. IV 18 Πρὸ δεκαδύο Καλενδῶν Φεβρουαρίων Εὔδοξος τὸν Ὑδροχόον ἀνίσχειν λέγει. — —IV 18 Πρὸ δεκαμιᾶς Καλενδῶν Φεβρουαρίων τὸν ἥλιον ἐν Ὑδροχόῳ γενέσθαι ὁ Καῖσαρ λέγει, ὁ δὲ Εὔδοξος ἀνίσχειν αὐτὸν καὶ βροχὰς σημαίνειν.

221c PTOLEM. ibid. p. 237 Tybi κς · ... Εὐδόξῳ χειμὼν μέσος. CALENDAR.

222 ap. GEMIN. p. 224 (Ὑδροχόου·) ἐν δὲ τῇ δ ἡμέρᾳ Εὐδόξῳ Δελφὶς ἀκρόνυχος δύνει. PTOLEM.

223 ibid. p. 238 Mechir α · ... Εὐδόξῳ ὑετία. CALENDAR.

224a ap. GEMIN. p. 226 (Ὑδροχόου·) ἐν δὲ τῇ ια Εὐδόξῳ Λύρα ἀκρόνυχος δύνει· ὑετός. PTOLEM.

224b ibid. p. 238 Mechir ς · ... Εὐδόξῳ ὑετός. CALENDAR.

225a ap. GEMIN. p. 226 (Ὑδροχόου·) ἐν δὲ τῇ ιδ Εὐδόξῳ εὐδία· ἐνίοτε καὶ ζέφυρος πνεῖ. PTOLEM.

225b ibid. p. 239 Mechir θ · ... Εὐδόξῳ εὐδία, ἐνίοτε δὲ καὶ ζέφυρος πνεῖ. — —p.

226 241 Mechir. ιγ · ... Αἰγυπτίοις καὶ Εὐδόξῳ ἔαρος ἀρχή· ζέφυρος ἄρχεται πνεῖν καὶ ἐνίοτε χειμών. — —p.

227 241 Mechir ιδ · Αἰγυπτίοις 〈καὶ〉 Εὐδόξῳ ὑετία. — —p.

228 241 Mechir ιζ · Αἰγυπτίοις καὶ Εὐδόξῳ ζέφυροι πνέουσιν. CALENDAR.

229a ap. GEMIN. p. 226 (Ἰχθύων·) ἐν δὲ τῇ δ Δημοκρίτῳ (VS 68 B 14, 3) ... Εὐδόξῳ δὲ Ἀρκτοῦρος ἀκρόνυχος ἐπιτέλλει· καὶ ὑετὸς γίνεται. Καὶ χελιδὼν φαίνεται· καὶ τὰς ἑπομένας ἡμέρας λʹ βορέαι πνέουσι, καὶ μάλιστα οἱ προορνιθίαι καλούμενοι. PTOLEM.

229b ibid. p. 242 Mechir κθ · ... Αἰγυπτίοις καὶ Φιλίππῳ καὶ Καλλίππῳ χελιδὼν φαίνεται, καὶ ἀνεμώδης κατάστασις. Κόνωνι βορέαι ἄρχονται πνεῖν ψυχροί. Εὐδόξῳ ὑετὸς ἐπὶ χελιδόνι· καὶ ἐπὶ λʹ ἡμέρας βορέαι πνέουσιν οἱ καλούμενοι ὀρνιθίαι. JO.

230 LYD. De mens. IV 44 Τῇ πρὸ τεσσάρων Νωνῶν Μαρτίων ἄνεμον βιαιότερον ὡς ἐπίπαν πνεῖν προλέγει ὁ Εὔδοξος. CALENDAR.

231a ap. GEMIN. p. 228 (Ἰχθύων·) ἐν δὲ τῇ ιζ Εὐδόξῳ χειμαίνει· καὶ ἰκτῖνος φαίνεται. PTOLEM.

231b ibid. p. 245 Phamenoth ιβ · ... Εὐδόξῳ χειμών, καὶ ἰκτῖνος φαίνεται καὶ ἐπισημαίνει. CALENDAR.

232 ap. GEMIN. p. 228 (Ἰχθύων·) ἐν δὲ τῇ κα Εὐδόξῳ Στέφανος ἀκρόνυχος ἐπιτέλλει· ἄρχονται ὀρνιθίαι πνέοντες. [JO.

233 LYD. De mens. IV 50 Ἡ πρὸ δεκαεπτὰ Καλενδῶν Ἀπριλίων ἄπρακτος. Ἐν ταύτῃ τῇ ἡμέρᾳ Εὔδοξος τοὺς Ἰχθύας ἀνίσχειν καὶ βορρᾶν πνεῖν παραδίδωσιν.] SCHOL.

234a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ARAT. Phaen. 771 Ὁ γοῦν Εὔδοξος Κριὸν μέν φησιν ἡλίου διερχομένου μαλακὰ γίνεσθαι πνεύματα ... PTOLEM.

234b ibid. p. 246 Phamenoth κε · ... Εὐδόξῳ ἰκτῖνος φαίνεται καὶ βορέας πνεῖ. PTOLEM.

235 ibid. p. 247 Phamenoth κθ · ... Αἰγυπτίοις καὶ Κόνωνι καὶ Μέτωνι ἰσημερία. Εὐδόξῳ βορέας πνεῖ. CALENDAR.

236a ap. GEMIN. p. 228 (Κριοῦ·) ἐν δὲ τῇ ς Εὐδόξῳ ἰσημερία· ὑετὸς γίνεται. LEPTIN.

236b Οὐρ. διδ. XXIII 9 Ἀπὸ τροπῶν χειμερινῶν εἰς ἰσημερίαν ἐαρινὴν Εὐδόξῳ καὶ Δη[μ]οκρίτῳ ἡμέραι ϙα′, Εὐκτήμονι ϙβ′, Καλλίππῳ ϙ′. PTOLEM.

236c ibid. p. 247 Pharmuthi α · ... Μέτωνι καὶ Καλλίππῳ καὶ Εὐδόξῳ ὑετός. — —p.

237 248 Pharmuthi δ · ... Αἰγυπτίοις καὶ Κόνωνι ἐπισημαίνει. Εὐδόξῳ ὑετία γίνεται. — —p.

238 248 Pharmuthi ς · ... Εὐδόξῳ ὑετός· ἐπισημαίνει. CALENDAR.

239a ap. GEMIN. p. 228 (Κριοῦ·) ἐν δὲ τῇ ιγ Εὐδόξῳ Πλειάδες ἀκρόνυχοι δύνουσι, καὶ Ὠρίων ἄρχεται δύνειν ἀπὸ ἀκρονύχου· ὑετὸς γίνεται. PTOLEM.

239b ibid. p. 224 Pharmuthi η · ... Αἰγυπτίοις ζέφυρος καὶ χάλαζα. Κόνωνι ἐπισημαίνει. Εὐδόξῳ ὑετός. PARAPEGMA MILES.

240 456 D I 1 [Χηλαὶ ἑσπέριαι δύνο]υσιν κατ’ Εὔ[δοξον, κατὰ δὲ Ἰ]νδῶν Καλλανέα [die insequenti Χηλαὶ ἑσπ]έριαι δύνουσιν. PTOLEM.

241 ibid. Pharmuthi ιγ · ... Αἰγυπτίοις νότος ἢ λίψ. Εὐδόξῳ ὑετία. CALENDAR.

242a ap. GEMIN. p. 228 (Κριοῦ·) ἐν δὲ τῇ κα Εὐδόξῳ Ὑάδες ἀκρόνυχοι δύνουσιν. PTOLEM.

242b ibid. p. 249 Pharmuthi ις · Εὐδόξῳ ζέφυρος καὶ ἀκρασία ἀέρος, μεταξὺ ψεκάζει. — —p.

243 250 Pharmuthi κ · ... Αἰγυπτίοις ἀνέμων ἀκρασία. Εὐδόξῳ καὶ Εὐκτήμονι ὑετία, χάλαζα. CALENDAR.

244a ap. GEMIN. p. 230 (Κριοῦ·) ἐν δὲ τῇ κζ Εὐδόξῳ Λύρα ἀκρόνυχος ἐπιτέλλει. PTOLEM.

244b ibid. p. 250 Pharmuthi κβ · Αἰγυπτίοις καὶ Κόνωνι χάλαζα καὶ ζέφυρος. Καίσαρι καὶ Εὐδόξῳ ὑετία. SCHOL.

245 ARAT. Phaen. 771 ... ὁμοίως δὲ καὶ Ταῦρον ... CALENDAR.

246a ap. GEMIN. p. 230 (Ταύρου·) ἐν μὲν οὖν τῇ α ἡμέρᾳ Εὐδόξῳ Ὠρίων ἀκρόνυχος δύνει· ὑετία. PTOLEM.

246b ibid. p. 251 Pharmuthi κζ · ... Αἰγυπτίοις καὶ Καίσαρι χειμαίνει. Εὐδόξῳ ὑετός. CALENDAR.

247a ap. GEMIN. p. 230 (Ταύρου·) ἐν δὲ τῇ δ ... Εὐδόξῳ Κύων ἀκρόνυχος δύνει, καὶ ὑετὸς γίνεται. PTOLEM.

247b ibid. p. 252 Pharmuthi λ · Αἰγυπτίοις καὶ Εὐδόξῳ ψακάς, ὑετός. CALENDAR.

248a ap. GEMIN. p. 230 (Ταύρου·) ἐν δὲ τῇ ζ Εὐδόξῳ ὑετὸς γίνεται. PTOLEM.

248b ibid. p. 252 Pachon γ · ... Αἰγυπτίοις ἄνεμοι, Εὐδόξῳ ὑετός. CALENDAR.

249 ap. GEMIN. p. 230 (Ταύρου·) ἐν δὲ τῇ θ Εὐδόξῳ Αἴξ ἑῴα ἐπιτέλλει. — —p.

250 230 (Ταύρου·) ἐν δὲ τῇ ια Εὐδόξῳ Σκορπίος ἑῷος δύνειν ἄρχεται· καὶ ὑετὸς γίνεται. PTOLEM.

251 ibid. p. 254 Pachon θ · ... Αἰγυπτίοις ψακάς, Εὐδόξῳ ὑετός. — —p.

252 254 Pachon ιγ · Αἰγυπτίοις ζέφυρος ἢ ἀργεστὴς καὶ ὑετία. Εὐδόξῳ καὶ Δοσιθέῳ ὑετία. CALENDAR.

253 ap. GEMIN. p. 230 (Ταύρου·) ἐν δὲ τῇ κα Εὐδόξῳ Σκορπίος ἑῷος ὅλος δύνει. — —p.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

254a 232 (Ταύρου·) ἐν δὲ τῇ κβ Εὐδόξῳ Πλειάδες 〈ἑῷαι〉 ἐπιτέλλουσι· καὶ ἐπισημαίνει. PARAPEGMA MILES.

254b N 5 [῾Υάδες] ἐπιτέλλουσιν ἕωθε[ν καὶ ἐπισημαί]νει αὐταῖς κατὰ Φίλιππ[ον, τῇ δ’ αὐτῇ κ]ατ’ Εὔδοξον Πλειά[δες ἑῷαι ἐπιτέ]λλουσιν. PTOLEM.

254c ibid. p. 255 Pachon ιζ · ... Αἰγυπτίοις ζέφυρος ἢ ἀργεστής· Καίσαρι ὑετός, Μητροδώρῳ, ῾Ιππάρχῳ, Εὐδόξῳ ἐπισημαίνει· καὶ θέρους ἀρχή. — —p.

254d 255 Pachon ιη · ... Αἰγυπτίοις ζέφυρος ἢ λίψ· ἐπισημαίνει. Εὐδόξῳ καὶ Κόνωνι ὑετία. — —p.

254e 256 Pachon κγ · ... Αἰγυπτίοις ὄμβρος καὶ βροντή, Εὐδόξῳ θέρους ἀρχή· ὑετία. — —p.

255 256 Pachon ιθ · ... Αἰγυπτίοις καὶ Εὐδόξῳ καὶ Καλλίππῳ ἐπισημαίνει. — —p.

256 256 Pachon κβ · Αἰγυπτίοις νότος ἢ ἀπηλιώτης, Εὐδόξῳ ὑετία. PARAPEGMA MILES.

257 A II 3 Αἲξ ἀκρώνυχος δύνει κα[τ’ Εὔδοξον] καὶ Φίλιππον καὶ Αἰγυπτί[ους]. SCHOL.

258a ARAT. Phaen. 771 ... ὅταν δὲ Διδύμους, ζεφύρους τε πνεῖν καὶ βορέας ψυχρούς. [PTOLEM.

258b ibid. p. 257 Pachon κς · ... Αἰγυπτίοις ἀργεστὴς ἢ ζέφυρος, Εὐδόξῳ νότος. Καίσαρι χειμάζει.] CALENDAR.

259 ap. GEMIN. p. 232 (Διδύμων·) ἐν δὲ τῇ ε Εὐδόξῳ ῾Υάδες ἑῷαι ἐπιτέλλουσιν. — —p.

260 232 (Διδύμων·) ἐν δὲ τῇ ζ Εὐδόξῳ Ἀετὸς ἀκρόνυχος ἐπιτέλλει. PTOLEM.

261 ibid. p. 259 Payni ζ· ... Αἰγυπτίοις ζέφυρος· Εὐδόξῳ καὶ Δοσιθέῳ νοτία. CALENDAR.

262 ap. GEMIN. p. 232 (Διδύμων·) ἐν δὲ τῇ ιγ Εὐδόξῳ Ἀρκτοῦρος ἑῷος δύνει. — —p.

263 232 (Διδύμων·) ἐν δὲ τῇ ιη Εὐδόξῳ Δελφὶς ἀκρόνυχος ἐπιτέλλει. — —p.

264 232 (Διδύμων·) ἐν δὲ τῇ κδ ... Εὐδόξῳ Ὠρίων 〈ἑῷοσ〉 ἄρχεται ἐπιτέλλειν. PTOLEM.

265 ibid. p. 263 Epiphi ε · ... Εὐδόξῳ ἐπισημαίνει. CALENDAR.

266 ap. GEMIN. p. 210 (Καρκίνου·) 〈ἐν δὲ τῇ〉 θ ἡμέρᾳ Εὐδόξῳ νότος πνεῖ. — —p.

267 210 Καρκίνου· 〈ἐν δὲ τῇ〉 ια ἡμέρᾳ Εὐδόξῳ Ὠρίων ἑῷος ὅλος ἐπιτέλλει. [CALENDAR.

268 ANON. cod. Barocc. 131 saec. XIV fol. 423 (Catalogus codicum astrologorum graecorum IX 1 p. 131) Φεβρουάριος· ... Τούτῳ τῷ μηνὶ Σελήνης οὔσης ἐν ῾Υδροχόῳ, ἐὰν γένωνται βρονταί ... κατὰ δὲ Εὔδοξον χειμῶνας πολλούς (sc. σημαίνει). [PROGNOSTICA ANON.

269 cod. Bonon. 3632 saec. XV fol. 323 (Catalogus codicum astrologorum graecorum IV p. 44) Κατ’ Εὔδοξον καὶ κατὰ Πτολομαῖον τὸν Αἰγύπτιον καὶ καθ’ ῞Ελληνας σοφοὺς ἀστροθεάμονας ὀφείλει σκοπεῖν τῇ κ Ἰουλίου μηνός, διαφερούσης ἡμέρας, ἐν ποίῳ ζῳδίῳ εὑρέθη ἡ Σελήνη]. ΑΣΤΡΟΝΟΜΙΑ . [5]

270 .. ἔτι δὲ δι’ ἐπῶν Ἀστρονομίαν. PLUT.

271 De Pyth. orac. 18 Πρότερον μὲν ἐν ποιήμασιν ἐξέφερον οἱ φιλόσοφοι τὰ δόγματα καὶ τοὺς λόγους ὥσπερ Ὀρφεὺς (VS 1 A 1) καὶ ῾Ησίοδος (ib. 4 A 1) καὶ Παρμενίδης (ib. 28 A 15) καὶ Ξενοφάνης (ib. 21 A 18) καὶ Ἐμπεδοκλῆς (ib. 31 A 25) καὶ Θαλῆς (ib. 11 B 1) ... οὐδ’ ἀστρολογίαν ἀδοξοτέραν ἐποίησαν οἱ περὶ Ἀρίσταρχον καὶ Τιμόχαριν καὶ Ἀρίστυλλον καὶ ῞Ιππαρχον καταλογάδην γράφοντες, ἐν μέτροις πρότερον Εὐδόξου καὶ ῾Ησιόδου καὶ Θαλοῦ γραφόντων. ΓΗΣ ΠΕΡΙΟΔΟΣ PLUT. [5]

272 Non posse suaviter vivi ... 10 ῞Οταν δὲ μηδὲν ἔχουσα λυπηρὸν ἢ βλαβερὸν ἱστορία καὶ διήγησις ἐπὶ πράξεσι καλαῖς καὶ μεγάλαις προσλάβῃ λόγον ἔχοντα δύναμιν καὶ χάριν, ὡς τὸν ῾Ηροδότου τὰ Περσικά, καὶ τὰ ῾Ελληνικὰ τὸν Ξενοφῶντος, «ὅσσα δ’ ῞Ομηρος ἐθέσπισε θέσκελα εἰδώς» (olim CALL. fr. anon. 385 Schneider), ἢ ἃς Περιόδους Εὔδοξος, ἢ Κτίσεις καὶ Πολιτείας

Ἀριστοτέλης, ἢ Βίους ἀνδρῶν Ἀριστόξενος (fr. 10a Wehrli) ἔγραψεν, οὐ μόνον μέγα καὶ πολὺ τὸ εὐφραῖνον, ἀλλὰ καὶ καθαρὸν καὶ ἀμεταμέλητόν ἐστιν. AGATHEM.

273a Geogr. hypot. I 1 (unde SCHOL. DION. p. 428 Müller et EUST. In Dion. p. 208 Müller) Εἶτα Δαμάστης ὁ Σιγειεὺς (FGrHist. 5 T 4) τὰ 〈πλεῖστα〉 ἐκ τῶν Ἑκαταίου μεταγράψας Περίπλουν ἔγραψεν (FGrHist. 1 T 12a)· ἑξῆς Δημόκριτος (VS 68 B 15) καὶ Εὔδοξος καὶ ἄλλοι τινὲς γῆς περιόδους καὶ περίπλους ἐπραγματεύσαντο. STRAB.

273b Geogr. I 1 1 Οἵ τε γὰρ πρῶτοι θαρρήσαντες αὐτῆς (sc. τῆς γεωγραφικῆς πραγματείας) ἅψασθαι τοιοῦτοί τινες ὑπῆρξαν· Ὅμηρός τε καὶ Ἀναξίμανδρος ὁ Μιλήσιος (cf. VS 12 A 6) καὶ Ἑκαταῖος ὁ πολίτης αὐτοῦ (FGrHist. 1 T 11a), καθὼς καὶ Ἐρατοσθένης φησί (fr. I A 1 Berger)· καὶ Δημόκριτος δὲ (cf. VS 68 B 15) καὶ Εὔδοξος καὶ Δικαίαρχος (fr. 104 Wehrli) καὶ Ἔφορος (FGrHist. 70 T 19) καὶ ἄλλοι πλείους. TZETZ.

274 (n) Chiliad. VII 642—649 Ὅτι δ’ εἰσὶ τῶν ἀληθῶν, ἄλλοι φασὶ μυρίοι τοιαῦτα καὶ καινότερα θεάσασθαι ἐν βίῳ· Κτησίας (FGrHist. 688 F 51b) καὶ Ἰάμβουλος, Ἰσίγονος, Ῥηγῖνος, Ἀλέξανδρος (cf. FGrHist. 273 F 141), Σωτίων τε καὶ ὁ Ἀγαθοσθένης (ib. 499 T 2), Ἀντίγονος καὶ Εὔδοξος, Ἱππόστρατος (ib. 568 T 2), μυρίοι, ὁ Πρωταγόρας αὐτὸς δέ, ἅμα καὶ Πτολεμαῖος, Ἀκεστορίδης (ib. 28 T 2) τε αὐτὸς καὶ ἄλλοι πεζογράφοι, οὕς τε αὐτὸς ἀνέγνωκα καὶ οὓς οὐκ ἀνεγνώκειν. ARSTT.

275 Rhet. I 1360 a 33 Ὥστε δῆλον ὅτι πρὸς μὲν τὴν νομοθεσίαν αἱ τῆς γῆς περίοδοι χρήσιμοι· ἐντεῦθεν γὰρ λαβεῖν ἔστι τοὺς τῶν ἐθνῶν νόμους. AGATHEM.

276a Geogr. hypot. I 2 (unde SCHOL. Dion. p. 428 Müller) Οἱ μὲν οὖν παλαιοὶ τὴν οἰκουμένην ἔγραφον στρογγύλην, μέσην δὲ κεῖσθαι τὴν Ἑλλάδα, καὶ ταύτης Δελφούς, τὸν ὀμφαλὸν γὰρ ἔχειν τῆς γῆς. Πρῶτος δὲ Δημόκριτος (VS 68 B 15), πολύπειρος ἀνήρ, συνεῖδεν ὅτι προμήκης ἐστὶν ἡ γῆ, ἡμιόλιον τὸ μῆκος τοῦ πλάτους ἔχουσα· συνῄνεσε τούτῳ καὶ Δικαίαρχος ὁ Περιπατητικός (fr. 109 Wehrli)· Εὔδοξος δὲ τὸ μῆκος διπλοῦν τοῦ πλάτους· ὁ δὲ Ἐρατοσθένης (fr. II C 1 Berger) πλεῖον τοῦ διπλοῦ. GEMIN.

276b Elem. astron. 16 3 Διπλάσιον δέ ἐστιν ὡς ἔγγιστα τὸ μῆκος τῆς οἰκουμένης τοῦ πλάτους· δι’ ἣν αἰτίαν οἱ κατὰ λόγον γράφοντες τὰς γεωγραφίας ἐν πίναξι γράφουσι παραμήκεσιν, ὡς διπλάσιον εἶναι τὸ μῆκος τοῦ πλάτους. Οἱ δὲ στρογγύλας γράφοντες τὰς γεωγραφίας πολὺ τῆς ἀληθείας εἰσὶ πεπλανημένοι. A STEPH.

277 BYZ. Ethn. Συρμάται, οἱ Σαυρομάται, ὡς Εὔδοξος πρώτῳ· «Ποταμὸν τοῦ Τανάϊδος Συρμάτας κατοικεῖν.» DIOG.

278a LAERT. IX 11 83 Καὶ Μασσαγέται μέν, ὥς φησι καὶ Εὔδοξος ἐν τῇ πρώτῃ τῆς Περιόδου, κοινὰς ἔχουσι τὰς γυναῖκας, Ἕλληνες δ’ οὔ. SEXT.

278b EMP. Pyrrh. hypot. I 152 Καὶ παρ’ ἡμῖν μὲν τὸ μοιχεύειν ἀπειρῆσθαι, παρὰ δὲ Μασσαγέταις ἀδιαφορίας ἔθει παραδεδόσθαι (sc. τὰς γυναῖκας), ὡς Εὔδοξος ὁ Κνίδιος ἱστορεῖ ἐν τῷ πρώτῳ τῆς Περιόδου. STEPH.

279 BYZ. Ethn. (unde EUST. In Dion. p. 341 Müller) Ἀρμενί α· χώρα πλησίον τῶν Περσῶν .... Οἱ οἰκήτορες Ἀρμένιοι, ὡς Εὔδοξος πρώτῃ Γῆς Περιόδου· «Ἀρμένιοι δὲ τὸ μὲν γένος ἐκ Φρυγίας, καὶ τῇ φωνῇ πολλὰ φρυγίζουσι. Παρέχονται δὲ λίθον τὴν γλύφουσαν καὶ τρυπῶσαν τὰς σφραγῖδας.» THEOPHR.

280 De lapid. 44 Καὶ πάλιν ὁ λίθος ᾧ γλύφουσι τὰς σφραγῖδας ἐκ τούτου ἐστὶν ἐξ οὗπερ αἱ ἀκόναι, ἢ ἐξ ὁμοίου τούτῳ. Ἄγεται δὲ ἡ 〈ἀρίστη〉 ἐξ Ἀρμενίας. STEPH.

281

Eulogikon public reading copy · View original HTML at eulogikon.org

BYZ. Ethn. Μοσσύνοικο ι· ἔθνος, περὶ οὗ Εὔδοξος ἐν πρώτῳ Γῆς Περιόδου. Τὸ κτητικὸν Μοσσυνοικικός. — — Χάλυβε ς· περὶ τὸν Πόντον ἔθνος, ἐπὶ τῷ ποταμῷ Θερμώδοντι, περὶ ὧν Εὔδοξος ἐν πρώτῳ· «Ἐκ δὲ τῆς Χαλύβων χώρας ὁ σίδηρος ὁ περὶ τὰ στομώματα ἐπαινούμενος ἐξάγεται.

282 » — — Χαβαρηνο ί· ἔθνος· Εὔδοξος πρώτῳ γῆς Περιόδου· «Ὀνομάζονται γὰρ καὶ Χαβαρηνοὶ οἱ περὶ Χαλύβων οἰκοῦντες, οἳ τῶν ξενικῶν γυναικῶν, ὧν ἴσως γένωνται κύριοι, 〈τοὺσ〉 τιτθοὺς ὠμοὺς ἐσθίουσι, τὰ δὲ παιδία κατευωχοῦσι.

283 » ATH.

284a IX 392 D Εὔδοξος δ' ὁ Κνίδιος ἐν πρώτῳ Γῆς Περιόδου τοὺς Φοίνικας λέγει θύειν τῷ Ἡρακλεῖ ὄρτυγας διὰ τὸ τὸν Ἡρακλέα τὸν Ἀστερίας καὶ Διὸς πορευόμενον εἰς Λιβύην ἀναιρεθῆναι μὲν ὑπὸ Τυφῶνος, Ἰολάου δ' αὐτῷ προσενέγκαντος ὄρτυγα καὶ προσαγαγόντος ὀσφρανθέντα ἀναβιῶναι· «Ἔχαιρε γάρ, φησί, καὶ περιὼν τῷ ζῴῳ τούτῳ.» DIOGENIAN. [5]

284b Prov. III 49 ap. Leutsch—Schneidewin, Corp. Paroemiogr. gr. t. II (= ZENOB. V 56 ibid. et Prov. cod. Bodl. ap. Th. Gaisford, Paroemiogr. gr. p. 87) Ὄρτυξ ἔσωσεν Ἡρακλῆ τὸν καρτερό ν· αὕτη παρ' οὐδενὶ τῶν ἀρχαίων ἐστί. Λέγεται δὲ ἐπὶ τῶν σῳζομένων ἀφ' ὧν οὐκ ἤλπισαν. Φησὶ γὰρ Εὔδοξος Ἡρακλέα τὸν Τύριον ὑπὸ Τυφῶνος διαφθαρῆναι, τὸν δὲ Ἰόλαον, ἅπαντα πράττοντα ὑπὲρ τοῦ ἀναστῆναι τὸν ἥρωα, ὄρτυγα, ᾧ ἔχαιρεν Ἡρακλῆς ζῶν, 〈κα〉 τακαῦσαι. Ἐκ ταύτης δὲ τῆς κνίσσης ἀναβιῶναι τὸν Ἡρακλέα. STEPH. [5]

285 BYZ. Ethn. Ἀσκάλω ν· πόλις Συρίας πρὸς τῇ Ἰουδαίᾳ .... Τὸ ἐθνικὸν Ἀσκαλωνίτης καὶ Ἀσκαλώνιος παρὰ τὸ Ἀσκαλώνιον, ὡς Ξάνθος ὁ Λυδός (FGrHist 765 F 8) .... παρὰ δ' Εὐδόξῳ διὰ τῆς αι ἐν τῷ α' 〈Γῆς Περιόδου· »... Ἀσκαλωναῖοι ...〉 καὶ ἡ μὲν πόλις, οὗ πρῶτόν φασι τὰ κρόμμυα γενέσθαι.» Καὶ κατὰ τὴν Ἀλεξανδρέων συνήθειαν Ἀσκαλωναῖα κεράμια. B — — Ἄσδυνι ς· νῆσος κατὰ τὴν Μοιρίδος λίμνην. [5]

286 Εὔδοξος δευτέρῳ· «Κατελαμβάνοντο ἐν Ἀσδύνει τῇ νήσῳ.» Ὁ νησιώτης Ἀσδυνίτης ὡς Μεμφίτης. SCHOL.

287 HOM. δ 477 (unde EUST. In Hom. p. 1505, 60 ss.) Πολλῶν λεγομένων περὶ τῆς τοῦ Νείλου ἀναβάσεως πρῶτος Ὅμηρος τὴν ἀληθεστάτην αἰτίαν εἶπε διιπετῆ προσαγορεύσας αὐτόν, διότι πληροῦται ἐκ τῶν ἐν Αἰθιοπίᾳ γινομένων ἀδιαλείπτων τοῦ θέρους καὶ σφοδρῶν ὑετῶν, ὡς καὶ Ἀριστοτέλης καὶ Εὔδοξος πεπύσθαι ταῦτα φάσκοντες ἀπὸ τῶν ἐν Αἰγύπτῳ ἱερέων. AET. [5]

288 Placit. IV 1 7 p. 386 Diels ap. PLUT. Placit. IV 1 et GALEN. Philos. hist. 23 Εὔδοξος τοὺς ἱερεῖς φησι λέγειν τὰ ὄμβρια τῶν ὑδάτων κατὰ τὴν ἀντιπερίστασιν τῶν ὡρῶν· ὅταν γὰρ ἡμῖν ᾖ θέρος τοῖς ὑπὸ τὸν θερινὸν τροπικὸν οἰκοῦσι, τότε τοῖς ὑπὸ τὸν χειμερινὸν τροπικὸν ἀντοίκοις χειμών ἐστιν, ἐξ ὧν τὸ πλημμυροῦν ὕδωρ καταρρήγνυται. DIOD. [5]

289 SIC. I 40 1 Τῶν δ' ἐν Μέμφει τινες φιλοσόφων ἐπεχείρησαν αἰτίαν φέρειν τῆς πληρώσεως ἀνεξέλεγκτον μᾶλλον ἢ πιθανήν, ᾗ πολλοὶ συγκατατέθεινται. 2 Διαιρούμενοι γὰρ τὴν γῆν εἰς τρία μέρη φασὶν ὑπάρχειν ἓν μὲν τὸ κατὰ τὴν ἡμετέραν οἰκουμένην, ἕτερον δὲ τὸ τούτοις τοῖς τόποις ἀντιπεπονθὸς ταῖς ὥραις, τὸ δὲ τρίτον μεταξὺ μὲν κεῖσθαι τούτων, ὑπάρχειν δὲ διὰ καῦμα ἀοίκητον. 3 Εἰ μὲν οὖν ὁ Νεῖλος ἀνέβαινε κατὰ τὸν τοῦ χειμῶνος καιρόν, δῆλον 〈ἂν〉 ὑπῆρχεν ὡς ἐκ τῆς καθ' ἡμᾶς ζώνης λαμβάνει τὴν ἐπίρρυσιν διὰ τὸ περὶ τούτους τοὺς καιροὺς μάλιστα γίνεσθαι παρ' ἡμῖν τὰς ἐπομβρίας· ἐπεὶ δὲ τοὐναντίον περὶ τὸ θέρος πληροῦται, πιθανὸν εἶναι κατὰ τοὺς ἀντικειμένους τόπους γεννᾶσθαι τοὺς χειμῶνας, καὶ τὸ πλεονάζον τῶν κατ' ἐκείνους τοὺς τόπους ὑδάτων εἰς τὴν καθ' ἡμᾶς οἰκουμένην φέρεσθαι. 4 Διὸ καὶ πρὸς τὰς πηγὰς τοῦ Νείλου μηδένα δύνασθαι παρελθεῖν, ὡς ἂν ἐκ τῆς ἐναντίας ζώνης διὰ τῆς ἀοικήτου φερομένου τοῦ ποταμοῦ. Μαρτυρεῖν δὲ τούτοις καὶ τὴν ὑπερβολὴν τῆς γλυκύτητος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ κατὰ τὸν Νεῖλον ὕδατος· διὰ γὰρ τῆς κατακεκαυμένης αὐτὸν ῥέοντα καθέψεσθαι, καὶ διὰ τοῦτο γλυκύτατον εἶναι πάντων τῶν ποταμῶν, ἅτε φύσει τοῦ πυρώδους πᾶν τὸ ὑγρὸν ἀπογλυκαίνοντος. PLUT. [15] De Isid. et Osirid. 12 Τῆς Ῥέας φασὶ κρύφα τῷ Κρόνῳ συγγενομένης αἰσθόμενον ἐπαράσασθαι τὸν Ἥλιον αὐτῇ μήτε μηνὶ μήτ’ ἐνιαυτῷ τεκεῖν· ἐρῶντα δὲ τὸν Ἑρμῆν τῆς θεοῦ συνελθεῖν, εἶτα παίξαντα πέττια πρὸς τὴν Σελήνην καὶ ἀφελόντα τῶν φώτων ἑκάστου τὸ ἑβδομηκοστόν, ἐκ πάντων ἡμέρας πέντε συνελεῖν καὶ ταῖς ἑξήκοντα καὶ τριακοσίαις ἐπαγαγεῖν, ἃς νῦν ἐπαγομένας Αἰγύπτιοι καλοῦσι καὶ τῶν θεῶν γενεθλίους ἄγουσι. Τῇ μὲν πρώτῃ τὸν Ὄσιριν γενέσθαι, καὶ φωνὴν αὐτῷ τεχθέντι συνεκπεσεῖν, ὡς ἁπάντων κύριος εἰς φῶς πρόεισιν .... Τῇ δὲ δευτέρᾳ τὸν Ἀρούηριν (ὃν Ἀπόλλωνα, ὃν καὶ πρεσβύτερον Ὦρον ἔνιοι καλοῦσι)· τῇ τρίτῃ δὲ Τυφῶνα μὴ καιρῷ μηδὲ κατὰ χώραν, ἀλλ’ ἀναρρήξαντα πληγῇ διὰ τῆς πλευρᾶς ἐξαλέσθαι· τετάρτῃ δὲ τὴν Ἶσιν ἐν πανύγροις γενέσθαι· τῇ δὲ πέμπτῃ Νέφθυν (ἣν καὶ Τελευτὴν καὶ Ἀφροδίτην, ἔνιοι δὲ καὶ Νίκην ὀνομάζουσιν). Εἶναι δὲ τὸν μὲν Ὄσιριν ἐξ Ἡλίου καὶ τὸν Ἀρούηριν, ἐκ δ’ Ἑρμοῦ τὴν Ἶσιν, ἐκ δὲ τοῦ Κρόνου τὸν Τυφῶνα καὶ τὴν Νέφθυν, διὸ καὶ τὴν τρίτην τῶν ἐπαγομένων ἀποφράδα νομίζοντες οἱ βασιλεῖς οὐκ ἐχρημάτιζον οὐδ’ ἐθεράπευον αὐτοὺς μέχρι νυκτός. Γήμασθαι δὲ τῷ Τυφῶνι τὴν Νέφθυν, Ἶσιν δὲ καὶ Ὄσιριν ἐρῶντας ἀλλήλων καὶ πρὶν ἢ γενέσθαι κατὰ γαστρὸς ὑπὸ σκότῳ συνεῖναι. (Ἔνιοι δέ φασι καὶ τὸν Ἀρούηριν οὕτω γεγονέναι καὶ καλεῖσθαι πρεσβύτερον Ὦρον ὑπ’ Αἰγυπτίων, Ἀπόλλωνα δ’ ὑφ’ Ἑλλήνων.) 13 Βασιλεύοντα δ’ Ὄσιριν Αἰγυπτίους μὲν εὐθὺς ἀπόρου βίου καὶ θηριώδους ἀπαλλάξαι, καρπούς τε δείξαντα καὶ νόμους θέμενον αὐτοῖς καὶ θεοὺς διδάξαντα τιμᾶν· ὕστερον δὲ γῆν πᾶσαν ἡμερούμενον ἐπελθεῖν, ἐλάχιστα μὲν ὅπλων δεηθέντα, πειθοῖ δὲ τοὺς πλείστους καὶ λόγῳ μετ’ ᾠδῆς πάσης καὶ μουσικῆς θελγομένους προσαγόμενον· ὅθεν Ἕλλησι δόξαι Διονύσῳ τὸν αὐτὸν εἶναι. Τυφῶνα δ’ ἀπόντος μὲν οὐδὲν νεωτερίζειν, διὰ τὸ τὴν Ἶσιν εὖ μάλα φυλάττεσθαι καὶ προσέχειν ἐγκρατῶς ἔχουσαν, ἐπανελθόντι δὲ δόλον μηχανᾶσθαι, συνωμότας ἄνδρας ἑβδομήκοντα καὶ δύο πεποιημένον καὶ συνεργὸν ἔχοντα βασίλισσαν ἐξ Αἰθιοπίας παροῦσαν, ἣν ὀνομάζουσιν Ἀσώ. Τοῦ δ’ Ὀσίριδος ἐκμετρησάμενον λάθρα τὸ σῶμα καὶ κατασκευάσαντα πρὸς τὸ μέγεθος λάρνακα καλὴν καὶ κεκοσμημένην περιττῶς εἰσενεγκεῖν εἰς τὸ συμπόσιον. Ἡσθέντων δὲ τῇ ὄψει καὶ θαυμασάντων, ὑποσχέσθαι τὸν Τυφῶνα μετὰ παιδιᾶς, ὃς ἂν ἐγκατακλεισθεὶς ἐξισωθῇ, διδόναι δῶρον αὐτῷ τὴν λάρνακα. Πειρωμένων δὲ πάντων καθ’ ἕκαστον, ὡς οὐδεὶς ἐνήρμοττεν, ἐμβάντα τὸν Ὄσιριν κατακλιθῆναι. Τοὺς δὲ συνόντας ἐπιδραμόντας ἐπιρρῖψαι τὸ πῶμα καὶ τὰ μὲν γόμφοις καταλαβόντας ἔξωθεν, τῶν δὲ θερμοῦ μολίβδου καταχεαμένους, ἐπὶ τὸν ποταμὸν ἐξενεγκεῖν καὶ μεθεῖναι διὰ τοῦ Τανιτικοῦ στόματος εἰς τὴν θάλασσαν, ὃ διὰ τοῦτο μισητὸν ἔτι νῦν καὶ κατάπτυστον ὀνομάζειν Αἰγυπτίους. Ταῦτα δὲ πραχθῆναι λέγουσιν ἑβδόμῃ ἐπὶ δέκα μηνὸς Ἀθύρ, ἐν ᾧ τὸν Σκορπίον ὁ ἥλιος διέξεισιν, ὄγδοον ἔτος καὶ εἰκοστὸν ἐκεῖνο βασιλεύοντος Ὀσίριδος. (Ἔνιοι δὲ βεβιωκέναι φασὶν αὐτόν, οὐ βεβασιλευκέναι χρόνον τοσοῦτον.) 14 ... Τὴν δ’ Ἶσιν αἰσθομένην κείρασθαι μὲν ἐνταῦθα τῶν πλοκάμων ἕνα καὶ πένθιμον στολὴν ἀναλαβεῖν, ὅπου τῇ πόλει μέχρι νῦν ὄνομα Κοπτώ, (ἕτεροι δὲ τοὔνομα σημαίνειν οἴονται στέρησιν· τὸ γὰρ ἀποστερεῖν κόπτειν λέγουσι,) πλανωμένην δὲ πάντῃ καὶ ἀποροῦσαν οὐδένα προσελθεῖν ἀπροσαύδητον, ἀλλὰ καὶ παιδαρίοις συντυχοῦσαν ἐρωτᾶν περὶ τῆς λάρνακος. Τὰ δὲ τυχεῖν ἑωρακότα καὶ φράσαι τὸ στόμα, δι’ οὗ τὸ ἀγγεῖον οἱ φίλοι τοῦ Τυφῶνος εἰς τὴν θάλασσαν ἔωσαν. Ἐκ τούτου τὰ παιδάρια μαντικὴν δύναμιν ἔχειν οἴεσθαι τοὺς Αἰγυπτίους, καὶ μάλιστα ταῖς τούτων ὀττεύεσθαι κληδόσι παιζόντων ἐν ἱεροῖς καὶ φθεγγομένων ὅ τι ἂν τύχωσι. Αἰσθομένην δὲ τῇ ἀδελφῇ ἐρῶντα συγγεγονέναι δι’ ἄγνοιαν ὡς ἑαυτῇ τὸν Ὄσιριν, καὶ τεκμήριον ἰδοῦσαν τὸν μελιλώτινον στέφανον, ὃν ἐκεῖνος παρὰ τῇ Νέφθυι κατέλιπε, τὸ παιδίον ζητεῖν—ἐκθεῖναι γὰρ εὐθὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τεκοῦσαν διὰ φόβον τοῦ Τυφῶνος—· εὑρεθὲν 〈δὲ〉 χαλεπῶς καὶ μόγις, κυνῶν ἐπαγόντων τὴν Ἶσιν, ἐκτραφῆναι καὶ γενέσθαι φύλακα καὶ ὀπαδὸν αὐτῆς, Ἄνουβιν προσαγορευθέντα, καὶ λεγόμενον τοὺς θεοὺς φρουρεῖν, ὥσπερ οἱ κύνες τοὺς ἀνθρώπους. 15 Ἐκ δὲ τούτου πυθέσθαι περὶ τῆς λάρνακος, ὡς πρὸς τὴν Βύβλου χώραν ὑπὸ τῆς θαλάττης ἐκκυμανθεῖσαν αὐτὴν ἐρείκῃ τινὶ μαλθακῶς ὁ κλύδων προσέμιξεν· ἡ δ' ἐρείκη κάλλιστον ἔρνος ὀλίγῳ χρόνῳ καὶ μέγιστον ἀναδραμοῦσα περιέπτυξε καὶ περιέφυ καὶ ἀπέκρυψεν ἐντὸς ἑαυτῆς· θαυμάσας δ' ὁ βασιλεὺς τοῦ φυτοῦ τὸ μέγεθος καὶ περιτεμὼν τὸν περιέχοντα τὴν σορὸν οὐχ ὁρωμένην κορμὸν ἔρεισμα τῆς στέγης ὑπέστησε. [45]

290 (50) Ταῦτά τε πνεύματί φασι δαιμονίῳ φήμης πυθομένην τὴν Ἶσιν εἰς Βύβλον ἀφικέσθαι, καὶ καθίσασαν ἐπὶ κρήνης ταπεινὴν καὶ δεδακρυμένην ἄλλῳ μὲν μηδενὶ προσδιαλέγεσθαι, τῆς δὲ βασιλίδος τὰς θεραπαινίδας ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι τήν τε κόμην παραπλέκουσαν αὐτῶν καὶ τῷ χρωτὶ θαυμαστὴν εὐωδίαν ἐπιπνέουσαν ἀφ' ἑαυτῆς. Ἰδούσης δὲ τῆς βασιλίδος τὰς θεραπαινίδας, ἵμερον ἐμπεσεῖν τῆς ξένης τῶν τε τριχῶν τοῦ τε χρωτὸς ἀμβροσίαν πνέοντος· οὕτω δὲ μεταπεμφθεῖσαν καὶ γενομένην συνήθη ποιήσασθαι τοῦ παιδίου τίτθην ... 16 Τρέφειν δὲ τὴν Ἶσιν ἀντὶ μαστοῦ τὸν δάκτυλον εἰς τὸ στόμα τοῦ παιδίου διδοῦσαν, νύκτωρ δὲ περικάειν τὰ θνητὰ τοῦ σώματος· αὐτὴν δὲ γενομένην χελιδόνα τῇ κίονι περιπέτεσθαι καὶ θρηνεῖν, ἄχρι οὗ τὴν βασίλισσαν παραφυλάξασαν καὶ ἐγκραγοῦσαν, ὡς εἶδε περικαόμενον τὸ βρέφος, ἀφελέσθαι τὴν ἀθανασίαν αὐτοῦ. Τὴν δὲ θεὰν φανερὰν γενομένην αἰτήσασθαι τὴν κίονα τῆς στέγης· ὑφελοῦσαν δὲ ῥᾷστα περικόψαι τὴν ἐρείκην, εἶτα ταύτην μὲν ὀθόνῃ περικαλύψασαν καὶ μύρον καταχεαμένην ἐγχειρίσαι τοῖς βασιλεῦσι, καὶ νῦν ἔτι σέβεσθαι Βυβλίους τὸ ξύλον ἐν ἱερῷ κείμενον Ἴσιδος. Τῇ δὲ σορῷ περιπεσεῖν καὶ κωκῦσαι τηλικοῦτον, ὥστε τῶν παίδων τοῦ βασιλέως τὸν νεώτερον ἐκθανεῖν, τὸν δὲ πρεσβύτερον μεθ' ἑαυτῆς ἔχουσαν καὶ τὴν σορὸν εἰς πλοῖον ἐνθεμένην ἀναχθῆναι. Τοῦ δὲ Φαίδρου ποταμοῦ πνεῦμα τραχύτερον ἐκθρέψαντος ὑπὸ τὴν ἕω, θυμωθεῖσαν ἀναξηρᾶναι τὸ ῥεῖθρον. 17 Ὅπου δὲ πρῶτον ἐρημίας ἔτυχεν, αὐτὴν καθ' ἑαυτὴν γενομένην ἀνοῖξαι τὴν λάρνακα καὶ τῷ προσώπῳ τὸ πρόσωπον ἐπιθεῖσαν ἀσπάσασθαι καὶ δακρύειν· τοῦ δὲ παιδίου σιωπῇ προσελθόντος ἐκ τῶν ὄπισθεν καὶ καταμανθάνοντος, αἰσθομένην μεταστραφῆναι καὶ δεινὸν ὑπ' ὀργῆς ἐμβλέψαι. Τὸ δὲ παιδίον οὐκ ἀνασχέσθαι τὸ τάρβος, ἀλλ' ἀποθανεῖν .... Ἔχειν δὲ τιμὰς διὰ τὴν θεόν· ὃν γὰρ ᾄδουσιν Αἰγύπτιοι παρὰ τὰ συμπόσια Μανέρωτα, τοῦτον εἶναι ... 18 Τῆς δ' Ἴσιδος πρὸς τὸν υἱὸν Ὧρον ἐν Βούτῳ τρεφόμενον πορευθείσης, τὸ δ' ἀγγεῖον ἐκποδὼν ἀποθεμένης, Τυφῶνα κυνηγετοῦντα νύκτωρ πρὸς τὴν σελήνην ἐντυχεῖν αὐτῷ, καὶ τὸ σῶμα γνωρίσαντα διελεῖν εἰς τεσσαρεσκαίδεκα μέρη καὶ διαρρῖψαι· τὴν δ' Ἶσιν πυθομένην ἀναζητεῖν ἐν βάριδι παπυρίνῃ τὰ ἕλη διεκπλέουσαν· ὅθεν οὐκ ἀδικεῖσθαι τοὺς ἐν παπυρίνοις σκάφεσι πλέοντας ὑπὸ τῶν κροκοδείλων, ἢ φοβουμένων ἢ σεβομένων νὴ Δία τὴν θεόν. Ἐκ τούτου δὲ καὶ πολλοὺς τάφους Ὀσίριδος ἐν Αἰγύπτῳ λέγεσθαι διὰ τὸ προστυγχάνουσαν ἑκάστῳ μέρει ταφὰς ποιεῖν. — —21 Εὔδοξος δέ, πολλῶν τάφων ἐν Αἰγύπτῳ λεγομένων, ἐν Βουσίριδι τὸ σῶμα κεῖσθαι· καὶ γὰρ πατρίδα ταύτην γεγονέναι τοῦ Ὀσίριδος· οὐκέτι μέντοι λόγου δεῖσθαι τὴν Ταφόσιριν· αὐτὸ γὰρ φράζειν τοὔνομα ταφὴν Ὀσίριδος. [85]

292 — —18 Μόνον δὲ τῶν μερῶν τοῦ Ὀσίριδος τὴν Ἶσιν οὐχ εὑρεῖν τὸ αἰδοῖον· εὐθὺς γὰρ εἰς τὸν ποταμὸν ῥιφῆναι καὶ γεύσασθαι τόν τε λεπιδωτὸν αὐτοῦ καὶ τὸν φάγρον καὶ τὸν ὀξύρυγχον, οὓς μάλιστα τῶν ἰχθύων ἀφοσιοῦσθαι· τὴν δ' Ἶσιν ἀντ' ἐκείνου μίμημα ποιησαμένην καθιερῶσαι τὸν φαλλόν, ᾧ καὶ νῦν ἑορτάζειν τοὺς Αἰγυπτίους. 19 Ἔπειτα τῷ Ὥρῳ τὸν Ὄσιριν ἐξ Ἅιδου παραγενόμενον διαπονεῖν ἐπὶ τὴν μάχην καὶ ἀσκεῖν. Εἶτα διερωτῆσαι» τί κάλλιστον ἡγεῖται»· τοῦ δὲ φήσαντος» τὸ πατρὶ καὶ μητρὶ τιμωρεῖν κακῶς παθοῦσιν», δεύτερον ἐρέσθαι» τί χρησιμώτατον οἴεται ζῷον εἰς μάχην ἐξιοῦσι»· τοῦ δ' Ὥρου» ἵππον» εἰπόντος, ἐπιθαυμάσαι

καὶ διαπορῆσαι, «πῶς οὐ λέοντα μᾶλλον ἀλλ' ἵππον εἶπεν». Εἰπεῖν οὖν τὸν Ὦρον ὡς» λέων μὲν ὠφέλιμον ἐπιδεομένῳ βοηθείας, ἵππος δὲ φεύγοντα διασπάσαι καὶ καταναλῶσαι τὸν πολέμιον.» Ἀκούσαντ' οὖν ἡσθῆναι τὸν Ὄσιριν, ὡς ἱκανῶς παρασκευασαμένου τοῦ Ὥρου. (Λέγεται δ' ὅτι, πολλῶν μετατιθεμένων ἀεὶ πρὸς τὸν Ὦρον, καὶ ἡ παλλακὴ τοῦ Τυφῶνος ἀφίκετο Θούηρις· ὄφις δέ τις ἐπιδιώκων αὐτὴν ὑπὸ τῶν περὶ τὸν Ὦρον κατεκόπη, καὶ νῦν διὰ τοῦτο σχοινίον τι προβάλλοντες εἰς μέσον κατακόπτουσι.) Τὴν μὲν οὖν μάχην ἐπὶ πολλὰς ἡμέρας γενέσθαι καὶ κρατῆσαι τὸν Ὦρον· τὸν Τυφῶνα δὲ τὴν Ἶσιν δεδεμένον παραλαβοῦσαν οὐκ ἀνελεῖν, ἀλλὰ καὶ λῦσαι καὶ μεθεῖναι· τὸν δ' Ὦρον οὐ μετρίως ἐνεγκεῖν, ἀλλ' ἐπιβαλόντα τῇ μητρὶ τὰς χεῖρας ἀποσπάσαι τῆς κεφαλῆς τὸ βασίλειον· Ἑρμῆν δὲ περιθεῖναι βούκρανον αὐτῇ κράνος. Τοῦ δὲ Τυφῶνος δίκην τῷ Ὥρῳ νοθείας λαχόντος, βοηθήσαντος δὲ τοῦ Ἑρμοῦ, καὶ τὸν Ὦρον ὑπὸ τῶν θεῶν γνήσιον κριθῆναι, τὸν δὲ Τυφῶνα δυσὶν ἄλλαις μάχαις καταπολεμηθῆναι. Τὴν δ' Ἶσιν ἐξ Ὀσίριδος μετὰ τὴν τελευτὴν συγγενομένου τεκεῖν ἠλιτόμηνον καὶ ἀσθενῆ τοῖς κάτωθεν γυίοις τὸν Ἁρποκράτην. 20 Ταῦτα σχεδόν ἐστι τοῦ μύθου τὰ κεφάλαια τῶν δυσφημοτάτων ἐξαιρεθέντων, οἷόν ἐστι τὸ περὶ τὸν Ὥρου διαμελισμὸν καὶ τὸν Ἴσιδος ἀποκεφαλισμόν. — —30 Φαίνονται δὲ καὶ οἱ Πυθαγορικοὶ (= PHILOLAUS VS 44 A 14) τὸν Τυφῶνα δαιμονικὴν ἡγούμενοι δύναμιν. [25]

293 Λέγουσι γὰρ ἐν ἀρτίῳ μέτρῳ ἕκτῳ καὶ πεντηκοστῷ γεγονέναι Τυφῶνα· καὶ πάλιν τὴν μὲν τοῦ τριγώνου 〈γωνίαν〉 Ἅιδου καὶ Διονύσου καὶ Ἄρεος εἶναι· τὴν δὲ τοῦ τετραγώνου Ῥέας καὶ Ἀφροδίτης καὶ Δήμητρος καὶ Ἑστίας καὶ Ἥρας· τὴν δὲ τοῦ δωδεκαγώνου Διός· τὴν δ' ἑκκαιπεντηκονταγωνίου Τυφῶνος, ὡς Εὔδοξος ἱστόρηκεν. — —33 Οἱ δὲ σοφώτεροι τῶν ἱερέων οὐ μόνον τὸν Νεῖλον Ὄσιριν καλοῦσιν οὐδὲ Τυφῶνα τὴν θάλασσαν, ἀλλ' Ὄσιριν μὲν ἁπλῶς ἅπασαν τὴν ὑγροποιὸν ἀρχὴν καὶ δύναμιν, αἰτίαν γενέσεως καὶ σπέρματος οὐσίαν νομίζοντες· Τυφῶνα δὲ πᾶν τὸ αὐχμηρὸν καὶ πυρῶδες καὶ ξηραντικὸν ὅλως καὶ πολέμιον τῇ ὑγρότητι. [5]

295 — —36 Ἄλλος δὲ λόγος ἐστὶν Αἰγυπτίων, ὡς Ἄποπις Ἡλίου ὢν ἀδελφὸς ἐπολέμει τῷ Διί, τὸν δ' Ὄσιριν ὁ Ζεὺς συμμαχήσαντα καὶ συγκαταστρεψάμενον αὐτῷ τὸν πολέμιον παῖδα θέμενος, Διόνυσον προσηγόρευσεν. Καὶ τούτου δὲ τοῦ λόγου τὸ μυθῶδες ἔστιν ἀποδεῖξαι τῆς περὶ φύσιν ἀληθείας ἁπτόμενον. Δία μὲν γὰρ Αἰγύπτιοι τὸ πνεῦμα καλοῦσιν, ᾧ πολέμιον τὸ αὐχμηρὸν καὶ πυρῶδες· τοῦτο δ' ἥλιος μὲν οὐκ ἔστι, πρὸς δ' ἥλιον ἔχει τινὰ συγγένειαν· ἡ δ' ὑγρότης σβεννύουσα τὴν ὑπερβολὴν τῆς ξηρότητος αὔξει καὶ ῥώννυσι τὰς ἀναθυμιάσεις, ὑφ' ὧν τὸ πνεῦμα τρέφεται καὶ τέθηλεν. — —38 Ὡς δὲ Νεῖλον Ὀσίριδος ἀπορροήν, οὕτως Ἴσιδος σῶμα γῆν ἔχουσι καὶ νομίζουσιν οὐ πᾶσαν, ἀλλ' ἧς ὁ Νεῖλος ἐπιβαίνει σπερμαίνων καὶ μιγνύμενος· ἐκ δὲ τῆς συνουσίας ταύτης γεννῶσι τὸν Ὦρον. [5]

296 Ἔστι δ' Ὦρος ἡ πάντα σῴζουσα καὶ τρέφουσα τοῦ περιέχοντος ὥρα καὶ κρᾶσις ἀέρος, ὃν ἐν τοῖς ἕλεσι τοῖς περὶ Βοῦτον ὑπὸ Λητοῦς τραφῆναι λέγουσιν· ἡ γὰρ ὑδατώδης καὶ διάβροχος γῆ μάλιστα τὰς σβεννυούσας καὶ χαλώσας τὴν ξηρότητα καὶ τὸν αὐχμὸν ἀναθυμιάσεις τιθηνεῖται. Νέφθυν δὲ καλοῦσι τῆς γῆς τὰ ἔσχατα καὶ παρόρια καὶ ψαύοντα τῆς θαλάττης· (διὸ καὶ τελευταίην ἐπονομάζουσι τὴν Νέφθυν καὶ Τυφῶνι δὲ συνοικεῖν λέγουσιν.) Ὅταν δ' ὑπερβαλὼν καὶ πλεονάσας ὁ Νεῖλος ἐπέκεινα πλησιάσῃ τοῖς ἐσχατεύουσι, τοῦτο μῖξιν Ὀσίριδος πρὸς Νέφθυν καλοῦσιν, ὑπὸ τῶν ἀναβλαστανόντων φυτῶν ἐλεγχομένην· ὧν καὶ τὸ μελίλωτόν ἐστιν, οὗ φησι μῦθος ἀπορρυέντος καὶ ἀπολειφθέντος αἴσθησιν γενέσθαι Τυφῶνι τῆς περὶ τὸν γάμον ἀδικίας. Ὅθεν ἡ μὲν Ἶσις ἔτεκε γνησίως τὸν Ὦρον, ἡ δὲ Νέφθυς σκότιον τὸν Ἄνουβιν ... 39 Ἡ δὲ Τυφῶνος ἐπιβουλὴ καὶ τυραννὶς αὐχμοῦ δύναμις ἦν ἐπικρατήσαντος καὶ διαφορήσαντος τήν τε γεννῶσαν ὑγρότητα τὸν Νεῖλον καὶ αὔξουσαν. Ἡ δὲ συνεργὸς αὐτοῦ βασιλὶς Αἰθιόπων αἰνίττεται πνοὰς νοτίους ἐξ Αἰθιοπίας· ὅταν γὰρ αὗται τῶν ἐτησίων ἐπικρατήσωσι τὰ νέφη πρὸς τὴν Αἰθιοπίαν ἐλαυνόντων καὶ κωλύσωσι τοὺς τὸν Νεῖλον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὔξοντας ὄμβρους καταρραγῆναι, κατέχων ὁ Τυφὼν ἐπιφλέγει, καὶ τότε κρατήσας παντάπασι τὸν Νεῖλον εἰς ἐναντίον ὑπ’ ἀσθενείας συσταλέντα καὶ ῥυέντα κοῖλον καὶ ταπεινὸν ἐξέωσεν εἰς τὴν θάλασσαν. Ἡ γὰρ λεγομένη κάθειρξις εἰς τὸν σορὸν Ὀσίριδος οὐδὲν ἔοικεν ἀλλ’ ἢ κρύψιν ὕδατος καὶ ἀφανισμὸν αἰνίττεσθαι· διὸ μηνὸς Ἀθὺρ ἀφανισθῆναι τὸν Ὄσιριν λέγουσιν, ὅτε τῶν ἐτησίων ἀπολειπόντων παντάπασιν ὁ μὲν Νεῖλος ὑπονοστεῖ, γυμνοῦται δ’ ἡ χώρα· μηκυνομένης δὲ τῆς νυκτός, αὔξεται τὸ σκότος, ἡ δὲ τοῦ φωτὸς μαραίνεται καὶ κρατεῖται δύναμις, οἱ 〈δ’〉 ἱερεῖς ἄλλα τε δρῶσι σκυθρωπὰ καὶ βοῦν διάχρυσον ἱματίῳ μέλανι βυσσίνῳ περιβάλλοντες ἐπὶ πένθει τῆς θεοῦ δεικνύουσι (βοῦν γὰρ Ἴσιδος εἰκόνα καὶ γῆν νομίζουσιν) ἐπὶ τέσσαρας ἡμέρας ἀπὸ τῆς ἑβδόμης ἐπὶ δέκα ἑξῆς. Καὶ γὰρ τὰ πενθούμενα τέσσαρα, πρῶτον μὲν ὁ Νεῖλος ἀπολείπων καὶ ὑπονοστῶν, δεύτερον δὲ τὰ βόρεια πνεύματα κατασβεννύμενα κομιδῇ τῶν νοτίων ἐπικρατούντων, τρίτον δὲ τὸ τὴν ἡμέραν ἐλάττονα γίγνεσθαι τῆς νυκτός, ἐπὶ πᾶσι δ’ ἡ τῆς γῆς ἀπογύμνωσις ἅμα τῇ τῶν φυτῶν ψιλότητι τηνικαῦτα φυλλορροούντων. Τῇ δ’ ἐνάτῃ ἐπὶ δέκα νυκτὸς ἐπὶ θάλασσαν κατίασι· καὶ τὴν ἱερὰν κίστην οἱ στολισταὶ καὶ οἱ ἱερεῖς ἐκφέρουσι χρυσοῦν ἐντὸς ἔχουσαν κιβώτιον, εἰς ὃ ποτίμου λαβόντες ὕδατος ἐγχέουσι, καὶ γίγνεται κραυγὴ τῶν παρόντων ὡς εὑρημένου τοῦ Ὀσίριδος· εἶτα γῆν κάρπιμον φυρῶσι τῷ ὕδατι καὶ συμμίξαντες ἀρώματα καὶ θυμιάματα τῶν πολυτελῶν ἀναπλάττουσι μηνοειδὲς ἀγαλμάτιον· καὶ τοῦτο στολίζουσι καὶ κοσμοῦσιν, ἐμφαίνοντες ὅτι γῆς οὐσίαν καὶ ὕδατος τοὺς θεοὺς τούτους νομίζουσι. 40 Τῆς δ’ Ἴσιδος πάλιν ἀναλαμβανούσης τὸν Ὄσιριν καὶ αὐξανούσης τὸν Ὧρον, ἀναθυμιάσεσι καὶ ὀμίχλαις καὶ νέφεσι ῥωννύμενον, ἐκρατήθη μέν, οὐκ ἀνῃρέθη δ’ ὁ Τυφών. Οὐ γὰρ εἴασεν ἡ κυρία τῆς γῆς θεὸς ἀναιρεθῆναι παντάπασι τὴν ἀντικειμένην τῇ ὑγρότητι φύσιν, ἀλλ’ ἐχάλασε καὶ ἀνῆκε βουλομένη διαμένειν τὴν κρᾶσιν· οὐ γὰρ ἦν κόσμον εἶναι τέλειον, ἐκλιπόντος καὶ ἀφανισθέντος τοῦ πυρώδους. Εἰ δὲ ταῦτα μὴ λέγεται παρ’ αὐτοῖς 〈ἀπ〉 εικότως, … — —52 Καὶ τὴν Ἶσιν Εὔδοξός φησι βραβεύειν τὰ ἐρωτικά. [40]

298 — —64 Ἀλλὰ καὶ τὸν Εὔδοξον ἀπιστοῦντα παύσομεν καὶ διαποροῦντα, πῶς οὔτε Δήμητρι τῆς τῶν ἐρωτικῶν ἐπιμελείας μέτεστιν ἀλλ’ Ἴσιδι· τόν τε Διόνυσον οὔτε τὸν Νεῖλον αὔξειν οὔτε τῶν τεθνηκότων ἄρχειν δυνάμενον. — —62 Ἔτι φησὶ περὶ τοῦ Διὸς ὁ Εὔδοξος μυθολογεῖν Αἰγυπτίους, ὡς τῶν σκελῶν συμπεφυκότων αὐτῷ μὴ δυνάμενος βαδίζειν ὑπ’ αἰσχύνης ἐρημίᾳ διέτριβεν, ἡ δ’ Ἶσις διατεμοῦσα καὶ διαστήσασα τὰ μέρη ταῦτα τοῦ σώματος ἀρτίποδα τὴν πορείαν παρέσχεν.

300 — —6 Οἶνον δ’ οἱ μὲν ἐν Ἡλίου πόλει θεραπεύοντες τὸν θεὸν οὐκ εἰσφέρουσι τὸ παράπαν εἰς τὸ ἱερόν, ὡς οὐ προσῆκον ἡμέρας πίνειν, τοῦ κυρίου καὶ βασιλέως ἐφορῶντος· οἱ δ’ ἄλλοι χρῶνται μέν, ὀλίγῳ δέ. Πολλὰς δ’ ἀοίνους ἁγνείας ἔχουσιν, ἐν αἷς φιλοσοφοῦντες καὶ μανθάνοντες καὶ διδάσκοντες τὰ θεῖα διατελοῦσιν. Οἱ δὲ βασιλεῖς καὶ μετρητὸν ἔπινον ἐκ τῶν ἱερῶν γραμμάτων, ὡς Ἑκαταῖος ἱστόρηκεν (F Gr Hist. 264 F 5), ἱερεῖς ὄντες· ἤρξαντο δὲ πίνειν ἀπὸ Ψαμμητίχου, πρότερον δ’ οὐκ ἔπινον οἶνον οὐδ’ ἔσπενδον ὡς φίλιον θεοῖς, ἀλλ’ ὡς αἷμα τῶν πολεμησάντων ποτὲ τοῖς θεοῖς, ἐξ ὧν οἴονται πεσόντων καὶ τῇ γῇ συμμιγέντων ἀμπέλους γενέσθαι· διὸ καὶ τὸ μεθύειν ἔκφρονας ποιεῖν καὶ παραπλῆγας, ἅτε δὴ τῶν προγόνων τοῦ αἵματος ἐμπιπλαμένους. Ταῦτα μὲν οὖν Εὔδοξος ἐν τῇ δευτέρᾳ τῆς Περιόδου λέγεσθαί φησιν οὕτως ὑπὸ τῶν ἱερέων. AELIAN. [10]

301 De nat. anim. X 16 Εὔδοξος δέ φησι φειδομένους τοὺς Αἰγυπτίους τῶν ὑῶν μὴ θύειν αὐτάς, ἐπεὶ τοῦ σίτου σπαρέντος ἐπάγουσι τὰς ἀγέλας αὐτῶν. Αἱ δὲ πατοῦσι καὶ ἐς ὑγρὰν τὴν γῆν ὠθοῦσιν, ἵνα μείνῃ ἔμβιος καὶ μὴ ὑπὸ τῶν ὀρνίθων ἀναλωθῇ. PROCL.

302 In Plat. Tim. comm. I 102 Diehl Εἰ δὲ καὶ ὅ φησιν Εὔδοξος ἀληθές, ὅτι Αἰγύπτιοι τὸν μῆνα ἐνιαυτὸν ἐκάλουν, οὐκ ἂν ἡ τῶν πολλῶν τούτων ἐνιαυτῶν ἀπαρίθμησις ἔχοι τι θαυμαστόν. Δ CLEM.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

303 ALEX. Protr. V 64 5 Δοκοῦσί μοι πολλοὶ μάλιστα τὸ ξίφος μόνον πήξαντες ἐπιθύειν ὡς Ἄρει· ἔστι δὲ Σκυθῶν τὸ τοιοῦτον, καθάπερ Εὔδοξος ἐν 〈δ′〉 τῆς Περιόδου λέγει. STEPH.

304 BYZ. Ethn. Σκυμνιάδα ι· ἔθνος σὺν Γέταις. Εὔδοξος τετάρτῃ Γῆς Περιόδου· «Σκυμνιάδαι καὶ Γέται.» SCHOL.

305 APOLL. RH. Arg. I 922 Μέλας πόντος οὕτω λεγόμενος, ὡς ἱστορεῖ Εὔδοξος ἐν δ′ Γῆς Περιόδου. Ὄπισθεν δὲ αὐτοῦ εἶναι τὴν Σαρπηδονίαν πέτραν φησίν. STRAB.

306 Geogr. VII fr. 52 Εἶτ’ ἄκρα Σαρπηδών· εἶθ’ ἡ Χερρόνησος ἡ Θρᾳκία καλουμένη, ποιοῦσα τήν τε Προποντίδα καὶ τὸν Μέλανα κόλπον καὶ τὸν Ἑλλήσποντον· ἄκρα γὰρ ἔκκειται πρὸς εὐρόνοτον, συνάπτουσα τὴν Εὐρώπην πρὸς τὴν Ἀσίαν ἑπτασταδίῳ πορθμῷ τῷ κατὰ Ἄβυδον καὶ Σηστόν, ἐν ἀριστερᾷ μὲν τὴν Προποντίδα ἔχουσα, ἐν δεξιᾷ δὲ τὸν Μέλανα κόλπον, καλούμενον οὕτως ἀπὸ τοῦ Μέλανος ἐκδιδόντος εἰς αὐτόν, καθάπερ Ἡρόδοτος (VII 58 3) καὶ Εὔδοξος. EUST. In Dion. p. 293 Müller Ἰστέον δὲ ὅτι καὶ Μέλας ποταμὸς οὐ μόνος οὗτός ἐστιν (i. e. Arcadicus), ἀλλὰ καὶ Θρᾳκικός, ἐξ οὗ Μέλας κόλπος ὀνομάζεται ὁ περὶ τὴν Αἶνον. STEPH. [10]

307 BYZ. Ethn. Ἄβδηρ α· .... Τοῦ «Ἀβδηρίτης» μέμνηται Εὔδοξος ἐν τετάρτῃ Περιόδου καὶ Παυσανίας ς′ Περιηγήσεως (VI 5 4) καὶ Ἡρόδοτος (VII 120 2) .... Πλεῖστοι δ’ Ἀβδηρῖται ὑπὸ τῶν πινακογράφων ἀναγράφονται· Νικαίνετος ἐποποιὸς καὶ Πρωταγόρας, ὃν Εὔδοξος ἱστορεῖ τὸν ἥσσω καὶ κρείσσω λόγον πεποιηκέναι καὶ τοὺς μαθητὰς δεδιδαχέναι τὸν αὐτὸν ψέγειν καὶ ἐπαινεῖν (VS 80 A 21). Οὗτος οὖν ὁ Πρωταγόρας καὶ Δημόκριτος Ἀβδηρῖται. — — Σιντί α· πόλις Μακεδονίας πρὸς τῇ Θρᾴκῃ, ὡς Εὔδοξος ἐν τετάρτῳ Γῆς Περιόδου. [5]

308 Οἱ ἐνοικοῦντες Σιντοὶ ὀξυτόνως. — — Χαλκία ς· πόλις Εὐβοίας .

309 .. Ἔστι καὶ ἐν Ἄνθῳ ἄλλη Χαλκίς, ὡς Εὔδοξος τετάρτῳ· «Μετὰ δὲ τὸν Ἄθω μέχρι Παλλήνης, ἣ ἐπὶ θάτερα πεποίηκε κόλπον βαθὺν καὶ πλατύν, Χαλκίδα ἐπονομαζόμενον.» — — Φλέγρ α· πόλις Θράκης, ἣν Εὔδοξος μετὰ ταῦτα Παλλήνην φησὶ κληθῆναι.

310 (= TZETZ. Schol. in Lycophr. 1404). 〈 E 〉 — — Πλαταια ί· πόλις Βοιωτίας.

311 Ὅμηρος ἑνικῶς (B 504)· «οἵ τε Πλάταιαν ἔχον», Εὔδοξος δὲ 〈ε′〉 Γῆς Περιόδου πληθυντικῶς· «Πλαταιὰς δὲ διὰ τὸ τάφους καὶ τρόπαια ἀνδρῶν ἀγαθῶν ἔχειν τῶν τὴν Ἑλλάδα ἐλευθερωσάντων καὶ τὸ βασίλειον στράτευμα δουλωσάντων.» ς — — Κρεμμυώ ν· κώμη Κορίνθου. [5]

312 Εὔδοξος ἕκτῳ Γῆς Περιόδου. — — Ἀζανί α· μέρος τῆς Ἀρκαδίας.

313 Λέγεται καὶ Ἀζηνία· Εὔδοξος δὲ ἐν ἕκτῃ Γῆς Περιόδου φησίν· «Ἔστι κρήνη τῆς Ἀζηνίας, ἣ τοὺς γευσαμένους τοῦ ὕδατος ποιεῖ μηδὲ τὴν ὀσμὴν τοῦ 〈οἴνου〉 ἀνέχεσθαι, εἰς ἣν λέγουσι Μελάμποδα, ὅτε τὰς Προιτίδας ἐκάθαιρεν, ἐμβαλεῖν τὰ ἀποκαθάρματα.» SCHOL. [5]

315 APOLL. RH. Arg. IV 264 (unde SCHOL. AR. Nub. 397) Οἱ Ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γεγονέναι, ὡς καὶ Εὔδοξος ἐν τῇ Περιόδῳ. STEPH.

316 BYZ. Ethn. Ἀσίν η· πόλις Λακωνικὴ ἀπὸ Ἀσίνης θυγατρὸς Λακεδαίμονος. Δευτέρα Μεσσήνης παρὰ τὴν Λακωνικήν, οἰκισθεῖσα ὑπὸ Ἀργείων. Τρίτη Κύπρου. Τετάρτη Κιλικίας. Τὸ ἐθνικὸν Ἀσιναῖος, καὶ Ἀσινεὺς καθὼς Εὔδοξος ἐν ἕκτῃ Γῆς Περιόδου. — — Αἴγιο ν· πόλις Ἀχαΐας, ὡς Εὔδοξος ἐν ἕκτῃ.

318 ATH. VII 288 C Εὔδοξος δ’ ἐν ἕκτῳ Γῆς Περιόδου «γόγγρους δέ» φησιν «πολλοὺς ἀνδραχθεῖς ἐν Σικυῶνι ἁλίσκεσθαι, ὧν ἐνίους εἶναι καὶ ἁμαξιαίους». STEPH.

319 BYZ. Ethn. Φελεσσαῖο ι· ἔθνος ὅμορον τοῖς Ὀμβρικοῖς πρὸς τῇ Ἰαπυγίᾳ, ὡς Εὔδοξος ἕκτῳ. — — Σκυλλήτιο ν· πόλις Σικελίας, ὡς Εὔδοξος ἕκτῃ.

320

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(=TZETZ. Schol. in Lycophr. 853). — — Ὀπικο ί· ἔθνος Ἰταλίας.

321 Εὔδοξος ἕκτῳ Γῆς Περιόδου· «Γλώσσας συνέμιξαν.» — — Ζυγαντί ς· πόλις Λιβύης.

322 Ἑκαταῖος Ἀσίας περιηγήσει (FGrHist. 1 F 337). Οἱ πολῖται Ζύγαντες, οἵτινες τὰ ἄνθη συλλέγοντες μέλι ποιοῦσιν, ὥστε μὴ λείπεσθαι τοῦ ὑπὸ τῶν μελισσῶν γινομένου, ὡς Εὔδοξος ὁ Κνίδιος ἐν ἕκτῳ Γῆς Περιόδου. APOLL.

323 Hist. mirab. 38 Εὔδοξος δὲ ὁ Κνίδιος ἐν τῷ 〈ϛ′〉 Γῆς Περιόδου φησὶν ἐπὶ πλεῖστον Λιβύης τι ἔθνος εἶναι, ὃ ὑπεράνω Σύρτεών τε καὶ Καρχηδόνος πρὸς ἀνατολὰς κείμενον καλεῖται Γύζαντες· οἵτινες τέχνην ἐπιτηδεύουσιν τὰ ἄνθη συλλέγοντες τὰ ἐν τοῖς τόποις μέλι ποιεῖν τοσοῦτον καὶ τοιοῦτον, ὥστε γίγνεσθαι οἷον τὸ ὑπὸ τῶν μελισσῶν γιγνόμενον. Z JAMBLICH.

324 Vit. Pythag. 6 Ὁ δὲ Μνήσαρχος συλλογισάμενος ὅτι οὐκ ἂν μὴ πυθομένῳ αὐτῷ ἔχρησέ τι περὶ τέκνου ὁ θεός, εἰ μὴ ἐξαίρετον προτέρημα ἔμελλε περὶ αὐτὸν καὶ θεοδώρητον ὡς ἀληθῶς ἔσεσθαι, τότε μὲν εὐθὺς ἀντὶ Παρθενίδος τὴν γυναῖκα Πυθαΐδα μετωνόμασεν ἀπὸ τοῦ γόνου καὶ τῆς προφητίδος, ἐν δὲ Σιδόνι τῆς Φοινίκης ἀποτεκούσης αὐτῆς τὸν γενόμενον υἱὸν Πυθαγόραν προσηγόρευσεν, ὅτι ἄρα ὑπὸ τοῦ Πυθίου προηγορεύθη αὐτῷ. 7 Παραιτητέοι γὰρ ἐνταῦθα Ἐπιμενίδης καὶ Εὔδοξος καὶ Ξενοκράτης (fr. 22 Heinze), ὑπονοοῦντες τῇ Παρθενίδι τότε μιγῆναι τὸν Ἀπόλλωνα καὶ κύουσαν αὐτὴν ἐκ μὴ οὕτως ἐχούσης καταστῆσαί τε καὶ προαγγεῖλαι διὰ τῆς προφητίδος. PORPH.

325 Vit. Pythag. 7 Καὶ ταῦτα μὲν (sc. Pythagorae scientiam) σχεδὸν πολλοὺς ἐπιγιγνώσκειν διὰ τὸ γεγράφθαι ἐν ὑπομνήμασι, τὰ δὲ λοιπὰ τῶν ἐπιτηδευμάτων ἧττον εἶναι γνώριμα· πλὴν τοσαύτῃ γε ἁγνείᾳ φησὶν Εὔδοξος ἐν τῇ ἑβδόμῃ τῆς Γῆς Περιόδου κεχρῆσθαι καὶ τῇ περὶ τοὺς φόνους φυγῇ καὶ τῶν φονευόντων, ὡς μὴ μόνον τῶν ἐμψύχων ἀπέχεσθαι, ἀλλὰ καὶ μαγείροις καὶ θηράτορσι μηδέποτε πλησιάζειν. HARPOCR.

326 Lex. rhet. Λιπάρ α. Δείναρχος Τυρρηνικῷ (fr. XII 3 Baiter—Sauppe). Μία τῶν καλουμένων Αἰόλου νήσων περὶ τὴν Σικελίαν ἡ Λιπάρα, ὡς Εὔδοξος ζ′ Περιόδου. Ex Incertis Libris STRAB.

328 Geogr. X 3 5 Τοιοῦτος δ’ ὢν Ἔφορος (FGrHist. 70 T 18a) ἑτέρων ὅμως κρείττων ἐστί· καὶ αὐτὸς ὁ ἐσπουδασμένως οὕτως ἐπαινέσας αὐτὸν Πολύβιος (XXXIV 1, 3) καὶ φήσας περὶ τῶν Ἑλληνικῶν καλῶς μὲν Εὔδοξον, κάλλιστα δ’ Ἔφορον ἐξηγεῖσθαι περὶ κτίσεων, συγγενειῶν, μεταναστάσεων, ἀρχηγετῶν, ἡμεῖς δέ, φησι, τὰ νῦν ὄντα δηλώσομεν καὶ περὶ θέσεως τόπων καὶ διαστημάτων· τοῦτο γάρ ἐστιν οἰκειότατον χωρογραφίᾳ. STRAB.

329 Geogr. XII 3 42 Εὔδοξος δ’ ὀρυκτοὺς ἰχθῦς ἐν Παφλαγονίᾳ λέγων ἐν ξηροῖς τόποις οὐ διορίζει τὸν τόπον ... THEOPHR.

330 fr. 171, 11 Wimmer Ἴδιον δέ τι παρὰ ταῦτα καὶ λόγου δεόμενον τὸ περὶ τοὺς ἐν Παφλαγονίᾳ ὀρυκτοὺς ἰχθῦς· ὀρύττεσθαι γάρ φασιν ἐκεῖ κατὰ βάθους πλείονος ἀγαθοὺς καὶ πολλούς· τὸν δὲ τόπον οὔτ’ ἐπίκλυσιν ποταμοῦ λαμβάνειν οὔθ’ ὕδατος σύστασιν, ἀφ’ ὧν δή φαμεν ἐγκαταλείπεσθαι τὰ ᾠὰ καὶ τὰς ἀρχὰς τῆς γενέσεως. Λοιπὸν γὰρ δὴ αὐτομάτους φύεσθαι. PS. ARSTT. Mir. ausc. 74 Φασὶ δὲ καὶ περὶ Παφλαγονίαν τοὺς ὀρυκτοὺς γίνεσθαι ἰχθῦς κατὰ βάθους, τούτους δὲ τῇ ἀρετῇ ἀγαθούς, οὔτε ὑδάτων φανερῶν πλησίον ὄντων οὔτε ποταμῶν ἐπιρρεόντων, ἀλλ’ αὐτῆς ζῳογονούσης τῆς γῆς. CALL.

331 fr. 407 XIX Pfeiffer (ex ANTIG. Hist. mir. 147) Εὔδοξον δ’ ἱστορεῖν τὴν μὲν ἐν Καλχηδόνι (sc. κρήνην) κροκοδείλους ἐν αὑτῇ 〈ἔχειν〉 μικρούς, ὁμοίους τοῖς ἐν Αἰγύπτῳ. STRAB.

332 Geogr. XII 4 2 Ταύτης (sc. τῆς Ἐπικτήτου Φρυγίας) δ’ ἐπὶ μὲν τοῦ στόματος τοῦ Πόντου Χαλκηδὼν ἵδρυται, Μεγαρέων κτίσμα, καὶ κώμη Χρυσόπολις καὶ τὸ ἱερὸν τὸ Χαλκηδόνιον, ἔχει δ’ ἡ χώρα μικρὸν ὑπὲρ τῆς θαλάττης κρήνην Ἀζαριτίαν, τρέφουσαν κροκοδείλους μικρούς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

STEPH. BYZ. Ethn. Ζάρητ α· κρήνη ὑπὲρ τῆς Καλχηδονίας θαλάσσης, μικροὺς τρέφουσα κροκοδείλους, οἳ καλοῦνται ζαρήτιοι. CALL.

333 fr. 407 XXXIV Pfeiffer (ex ANTIG. Hist. mir. 162) Λέγειν δὲ τὸν Εὔδοξον καὶ περὶ τῶν ἐν τῇ Πυθοπόλει φρεάτων, ὅτι παραπλήσιόν τι τῷ Νείλῳ πάσχουσιν· τοῦ μὲν γὰρ θέρους ὑπὲρ τὰ χείλη πληροῦσθαι, τοῦ δὲ χειμῶνος οὕτως ὥστε μηδὲ βάψαι ῥᾴδιον εἶναι. PS.

334 —ARSTT. Mir. ausc. 54 Περὶ τὴν Ἀσκανίαν λίμνην Πυθόπολίς ἐστι κώμη ἀπέχουσα Κίου ὡς σταδίους ἑκατὸν εἴκοσι, ἐν ᾗ τοῦ χειμῶνος ἀναξηραίνεται πάντα τὰ φρέατα ὥστε μὴ ἐνδέχεσθαι βάψαι τὸ ἀγγεῖον, τοῦ δὲ θέρους πληροῦται ἕως τοῦ στόματος. STRAB.

335 Geogr. XII 3 42 ... ἐν ὑγροῖς δὲ περὶ τὴν Ἀσκανίαν λίμνην φησὶ τὴν ὑπὸ Κίῳ, λέγων οὐδὲν σαφές. — —XIII 1 4 Εὐθὺς γὰρ ἐπὶ τῶν κατὰ τὴν Προποντίδα τόπων ὁ μὲν Ὅμηρος ἀπὸ τοῦ Αἰσήπου τὴν ἀρχὴν ποιεῖται τῆς Τρωάδος· Εὔδοξος δὲ ἀπὸ Πριάπου καὶ Ἀρτάκης, τοῦ ἐν τῇ Κυζικηνῶν νήσῳ χωρίου ἀνταίροντος τῷ Πριάπῳ, συστέλλων ἐπ' ἔλαττον τοὺς ὅρους.

337 ANTIG. Hist. mir. 123 Καὶ πολλαχοῦ δὲ ἔοικεν τό τε τῶν βαράθρων καλουμένων καὶ χαρωνίων εἶναι γένος, οἷον ὅ τε Κίμβρος καλούμενος ὁ περὶ Φρυγίαν βόθυνος, ὡς Εὔδοξός φησιν, καὶ τὸ ἐν Λάτμῳ ὄρυγμα. PS.

338 —ARSTT. Mir. ausc. 173 Ἐν ὄρει Βερεκυνθίῳ γεννᾶσθαι λίθον καλούμενον μάχαιραν, ὃν ἐὰν εὕρῃ τις, τῶν μυστηρίων τῆς Ἑκάτης ἐπιτελουμένων ἐμμανὴς γίνεται, ὡς Εὔδοξός φησιν. (= Eudox. Rhod. FGrHist. 79 F 5 dub.). PS.—PLUT. De fluv. et mont. nom. X 5 Γεννᾶται δ' ἐν αὐτῷ λίθος καλούμενος μάχαιρα· ἔστι γὰρ σιδήρῳ παραπλήσιος· ὃν ἐὰν εὕρῃ τις τῶν μυστηρίων ἐπιτελουμένων τῆς θεᾶς, ἐμμανὴς γίνεται, καθὼς ἱστορεῖ Ἀγαθαρχίδης (Samius FGrHist. 284 F 3) ἐν τοῖς Φρυγιακοῖς. DIOG.

339 LAERT. VIII 90 Εὑρίσκομεν δὲ καὶ ἄλλον ἰατρὸν Κνίδιον (sc. Εὔδοξον nomine), περὶ οὗ φησιν Εὔδοξος ἐν Γῆς Περιόδῳ ὡς εἴη παραγγέλλων ἀεὶ συνεχὲς κινεῖν τὰ ἄρθρα πάσῃ γυμνασίᾳ, ἀλλὰ καὶ τὰς αἰσθήσεις ὁμοίως. DIOG.

341 LAERT. prooem. 8 Ἀριστοτέλης δ' ἐν πρώτῳ Περὶ Φιλοσοφίας (fr. 6 Rose) καὶ πρεσβυτέρους εἶναι (sc. Magos ) τῶν Αἰγυπτίων· καὶ δύο κατ' αὐτοὺς εἶναι ἀρχάς, ἀγαθὸν δαίμονα καὶ κακὸν δαίμονα· καὶ τῷ μὲν ὄνομα εἶναι Ζεὺς καὶ Ὠρομάσδης, τῷ δὲ Ἅιδης καὶ Ἀρειμάνιος. Φησὶ δὲ τοῦτο καὶ Ἕρμιππος ἐν τῷ πρώτῳ Περὶ Μάγων (FHG III 53 fr. 78) καὶ Εὔδοξος ἐν τῇ Περιόδῳ καὶ Θεόπομπος ἐν τῇ ὀγδόῃ τῶν Φιλιππικῶν (FGrHist. 115 F 64). STRAB.

344a Geogr. XI 7 5 Καὶ τοῦτο δ' ἐκ τῶν κατὰ τὴν Ὑρκανίαν ἱστορουμένων παραδόξων ἐστὶν ὑπὸ Εὐδόξου καὶ ἄλλων, ὅτι πρόκεινταί τινες ἀκταὶ τῆς θαλάττης ὕπαντροι, τούτων δὲ μεταξὺ καὶ τῆς θαλάττης ὑπόκειται ταπεινὸς αἰγιαλός, ἐκ δὲ τῶν ὕπερθεν κρημνῶν ποταμοὶ ῥέοντες τοσαύτῃ προφέρονται βίᾳ ὥστε ταῖς ἀκταῖς συνάψαντες ἐξακοντίζουσι τὸ ὕδωρ εἰς τὴν θάλατταν, ἄρραντον φυλάττοντες τὸν αἰγιαλόν, ὥστε καὶ στρατοπέδοις ὁδεύσιμον εἶναι σκεπαζομένοις τῷ ῥεύματι, οἱ δ' ἐπιχώριοι κατάγονται πολλάκις εὐωχίας καὶ θυσίας χάριν εἰς τὸν τόπον καὶ ποτὲ μὲν ὑπὸ τοῖς ἄντροις κατακλίνονται, ποτὲ δ' ὑπ' αὐτῷ τῷ ῥεύματι ἡλιαζόμενοι, ἄλλως δ' ἄλλοι τέρπονται, παραφαινομένης ἅμα καὶ τῆς θαλάττης ἑκατέρωθεν καὶ τῆς ἠιόνος ποώδους καὶ ἀνθηρᾶς οὔσης διὰ τὴν ἰκμάδα. PARADOXOGRAPHUS ANON.

344b cod. Par. gr. 1630 saec. XIV (J. F. Boissonade, Anecd. gr. I 96 ) Ὅτι ἐν τῇ θαλάσσῃ Ὑρκανίᾳ τῇ καὶ Κασπίᾳ καλουμένῃ ἀκταὶ παρὰ τῷ αἰγιαλῷ ἀνέχουσιν ὑψηλαὶ ἄγαν καὶ ὕπαντροι, ὀλίγῳ διαστήματι ἡμισταδιαίῳ τυχὸν ἢ καὶ τρίτῳ τοῦ σταδίου τῷ καὶ εἰς αἰγιαλὸν χρηματίζοντι τῆς θαλάσσης ἀπέχουσαι. Τούτων δὲ ὕπερθεν ποταμοὶ κατιόντες ἄνωθεν ἀπὸ ὑψηλοτέρων ὀρέων τοσαύτῃ καταφέρονται τῇ ῥύμῃ, ὥστε ἐν τῷ μέλλειν εἰσβαλεῖν εἰς τὴν θάλασσαν ἀπὸ τῶν ἄκρων τῶν ἀκτῶν πρὸς αὐτὴν τὴν θάλασσαν τὸ ὕδωρ ἀκοντίζουσι, τὸν ἐν μέσῳ ὑποκείμενον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χῶρον ἤτοι τὸν αἰγιαλὸν ἄβροχον εἰς ἅπαν καταλιμπάνοντες, ὡς εἶναι βάσιμον αὐτὸν καὶ ὁδεύσιμον τοῖς ἐκεῖσε διερχομένοις, κἂν στρατὸς ὁλόκληρος εἴη, σκεπομένοις μᾶλλον ὑπὸ τῶν ῥεόντων ποταμῶν καὶ ἀβρόχοις ἐν τῷ διέρχεσθαι ὑποκάτωθεν αὐτῶν συντηρουμένοις. STRAB.

345 Geogr. XII 3 21 Οἱ μὲν μεταγράφουσιν Ἁλιζώνων 〈Ὀλιζώνων ἢ Ἀλαζώνων〉, οἱ δ' Ἀμαζώνων ποιοῦντες, τὸ δ' ἐξ Ἀλύβης ἐξ Ἀλόπης 〈ἢ ὡς Μενεκράτησ〉 ἐξ Ἀλόβης, τοὺς μὲν Σκύθας Ἁλιζῶνας φάσκοντες ὑπὲρ τὸν Βορυσθένη καὶ Καλλιπίδας καὶ ἄλλα ὀνόματα, ἅπερ Ἑλλάνικός τε (FGrHist. 4 F 186) καὶ Ἡρόδοτος (IV 17) καὶ Εὔδοξος κατεφλυάρησαν ἡμῶν, τοὺς δ' Ἀμαζῶνας μεταξὺ Μυσίας καὶ Καρίας καὶ Λυδίας, καθάπερ Ἔφορος νομίζει, πλησίον Κύμης τῆς πατρίδος αὐτοῦ (FGrHist. 70 F 114a). PHOT.

346 Lex. Αἷμο ν· τὸ ὄρος οὐδετέρως Ἑκαταῖος διὰ παντὸς (FGrHist. 1 F 167) καὶ Διονύσιος (FGrHist. 687 F 3) καὶ Ἑλλάνικος ἐν α' Ἀτθίδος (FGrHist. 4 F 41) καὶ Τίμαιος (FGrHist. 566 F 76) καὶ Εὔδοξος. CALL.

347 fr. 407 I Pfeiffer (ex ANTIG. Hist. mir. 129) Πεποίηται δέ τινα καὶ ὁ Κυρηναῖος Καλλίμαχος ἐκλογὴν τῶν παραδόξων, ἧς ἀναγράφομεν ὅσα ποτὲ ἡμῖν ἐφαίνετο εἶναι ἀκοῆς ἄξια. Φησὶν Εὔδοξον ἱστορεῖν, ὅτι ἐν τῇ κατὰ Ἱερὸν Ὄρος θαλάττῃ τῆς Θρᾴκης ἐπιπολάζει κατά τινας χρόνους ἄσφαλτος ... STRAB.

348 Geogr. VII fr. 56 Καὶ τὸ Ἱερὸν Ὄρος τιμᾶται ὑπὸ τῶν ἐγχωρίων καὶ ἔστιν οἷον ἀκρόπολις τῆς χώρας. Ἄσφαλτον δ' ἐξίησιν εἰς τὴν θάλασσαν, καθ' ὃν τόπον ἡ Προκόννησος ἐγγυτάτω τῆς γῆς ἐστιν ἀπὸ ἑκατὸν εἴκοσι σταδίων. SCHOL.

349 BT HOM. Φ 158 (= SCHOL. HOM. λ 239) «Ἀξιοῦ, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται αἶαν»· φέρει δὲ τὸ ἔπος καὶ Εὔδοξος δίχα τοῦν · «Ἀξιοῦ, 〈οὗ〉 κάλλιστον ὕδωρ ἐπικίδναται Αἶα.» Πολλῶν γὰρ ποταμῶν ἐμβαλλόντων εἰς τὸν Ἀξιὸν θολερῶν, Αἶα ἡ κρήνη διαυγέστατον ἀνίησιν ὕδωρ. STRAB.

350 Geogr. IX 1 1 Φησὶ δ' Εὔδοξος, εἴ τις νοήσειεν ἀπὸ τῶν Κεραυνίων ὀρῶν ἐπὶ Σούνιον τὸ τῆς Ἀττικῆς ἄκρον ἐπὶ τὰ πρὸς ἕω μέρη τεταμένην εὐθεῖαν, ἐν δεξιᾷ μὲν ἀπολείψειν τὴν Πελοπόννησον ὅλην πρὸς νότον, ἐν ἀριστερᾷ δὲ καὶ πρὸς τὴν ἄρκτον τὴν ἀπὸ τῶν Κεραυνίων ὀρῶν συνεχῆ παραλίαν μέχρι τοῦ Κρισαίου κόλπου καὶ τῆς Μεγαρίδος καὶ συμπάσης τῆς Ἀττικῆς· νομίζειν δ' οὐδ' ἂν κολποποιεῖν ψιλὴν τὴν ἠιόνα τὴν ἀπὸ Σουνίου μέχρι Ἰσθμοῦ διὰ τὸ μικρὰν ἔχειν ἐπιστροφήν, εἰ μὴ προσῆν τῆς Πελοποννήσου τὰ συνεχῆ τῷ Ἰσθμῷ χωρία τὰ περὶ τὸν κόλπον τὸν Ἑρμιονικὸν καὶ τὴν Ἀκτήν· ὡς δ' αὕτως οὐδ' ἂν τὴν ἀπὸ τῶν Κεραυνίων ἐπὶ τὸν Κορινθιακὸν κόλπον ἔχειν τινὰ τοσαύτην ἐπιστροφὴν ὥστε κοιλαίνεσθαι κολποειδῶς καθ' αὑτήν, τὸ δὲ Ῥίον καὶ τὸ Ἀντίρριον συναγόμενα εἰς στενὸν ποιεῖν τὴν ἔμφασιν ταύτην· ὁμοίως δὲ καὶ τὰ περὶ τὸν Κρισαῖον μυχόν, εἰς ἃ καταλήγειν συμβαίνει τὴν Κ〈ρισαί〉αν θάλατταν. 2 Οὕτω δ' εἰρηκότος Εὐδόξου, μαθηματικοῦ ἀνδρὸς καὶ σχημάτων ἐμπείρου καὶ κλιμάτων καὶ τοὺς τόπους τούτους εἰδότος, δεῖ νοεῖν τήνδε τὴν πλευρὰν τῆς Ἀττικῆς σὺν τῇ Μεγαρίδι τὴν ἀπὸ Σουνίου μέχρι Ἰσθμοῦ κοίλην μὲν ἀλλ' ἐπὶ μικρόν. CALL.

351 fr. 407 XX Pfeiffer (ex ANTIG. Hist. mir. 148) Περὶ δὲ τὴν Ἀθαμανίαν ἱερὸν εἶναι Νυμφῶν, ἐν ᾧ τὴν κρήνην τὸ μὲν ὕδωρ ἔχειν ἄφατον ὡς ψυχρόν, ὃ δ' ἂν ὑπερθῇς αὐτοῦ θερμαίνειν· ἐὰν δέ τις φρύγανον ἢ ἄλλο τι τῶν τοιούτων προσενέγκῃ, μετὰ φλογὸς καίεσθαι. PLUT.

352 De Pyth. or. 17 Περιελθόντες οὖν ἐπὶ τῶν μεσημβρινῶν καθεζόμεθα κρηπίδων 〈τοῦ〉 νεὼ πρὸς τὸ τῆς Γῆς ἱερὸν τό τε ὕδωρ 〈τῆς Κασταλίασ〉 ἀποβλέποντες· ὥστ' εὐθὺς εἰπεῖν τὸν Βόηθον, ὅτι καὶ ὁ τόπος τῆς ἀπορίας συνεπιλαμβάνεται τῷ ξένῳ. Μουσῶν γὰρ ἦν ἱερὸν ἐνταῦθα περὶ τὴν ἀναπνοὴν τοῦ νάματος, ὅθεν ἐχρῶντο πρός τε τὰς λοιβὰς 〈καὶ τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χέρνιβασ〉 τῷ ὕδατι τούτῳ, ὥς φησι Σιμωνίδης (fr. 26 Diehl)· «Ἔνθα χερνίβεσσιν ἀρύεται Μοισᾶν καλλικόμων ὑπένερθεν ἁγνὸν ὕδωρ.» Μικρῷ δὲ περιεργότερον αὖθις ὁ Σιμωνίδης τὴν Κλειὼ προσειπών· «Ἁγνὰν ἐπίσκοπον χερνίβων,» φησί (fr. 25 Diehl), «Πολύλιστον ἀρυόντεσσιν ἀχρυσόπεπλον 〈 〉 εὐῶδες ἀμβροσίων ἐκ μυχῶν ἐραννὸν ὕδωρ λαβόν.» Οὐκ ὀρθῶς οὖν Εὔδοξος ἐπίστευσε τοῖς Στυγὸς ὕδωρ τοῦτο καλεῖσθαι πεφήνασι. STRAB.

353 Geogr. IX 2 35 (unde EUST. In Hom. p. 270, 39) Ζηνόδοτος δὲ γράφων (sc. in Hom. B 507 ubi Ἄρνην) «Οἵ τε πολυστάφυλον Ἄσκρην ἔχον οἵ τε Μίδειαν» οὐκ ἔοικεν ἐντυχόντι τοῖς ὑπὸ Ἡσιόδου περὶ τῆς πατρίδος εἰρημένοις (Op. 640) καὶ τοῖς ὑπ’ Εὐδόξου πολὺ χείρω λέγοντος περὶ τῆς Ἄσκρης. PROCL.

354 In Hes. Op. 640 Εὔδοξος οὖν φησι ταύτην (sc. τὴν Ἄσκρην) ἀνήλιον εἶναι ἐν χειμῶνι διὰ τὸ ὄρος τὸ ἐν Ἑλικῶνι—ἔστι δὲ τοῦτο τῆς Βοιωτίας—καὶ ἐν τῷ θέρει φλέγεσθαι. CALL.

355 fr. 407 X Pfeiffer (ex ANTIG. Hist. mir. 138) Εὔδοξον δὲ τὴν ἐν Ἅλῳ Ὀφιοῦσσαν τὸν ἀλφὸν παύειν. STEPH.

356 BYZ. Ethn. Κασταναί α· Εὔδοξος δὲ διὰ τοῦ θ φησί. STRAB.

357 Geogr. VIII 6 21 Τὴν δὲ τοποθεσίαν τῆς πόλεως, ἐξ ὧν Ἱερώνυμός τε εἴρηκε (FGrHist. 154 F 16) καὶ Εὔδοξος καὶ ἄλλοι, καὶ αὐτοὶ δὲ εἴδομεν νεωστὶ ἀναληφθείσης ὑπὸ τῶν Ῥωμαίων, τοιάνδε εἶναι συμβαίνει· ὄρος ὑψηλὸν ὅσον τριῶν ἥμισυ σταδίων ἔχον τὴν κάθετον, τὴν δ’ ἀνάβασιν καὶ τριάκοντα σταδίων, εἰς ὀξεῖαν τελευτᾷ κορυφήν· καλεῖται δὲ Ἀκροκόρινθος, οὗ τὸ μὲν πρὸς ἄρκτον μέρος ἐστὶ τὸ μάλιστα ὄρθιον, ὑφ’ ᾧ κεῖται ἡ πόλις ἐπὶ τραπεζώδους ἐπιπέδου χωρίου πρὸς αὐτῇ τῇ ῥίζῃ τοῦ Ἀκροκορίνθου. STEPH.

358 BYZ. Ethn. Σπῖν α· πόλις Ἰταλίας, ὡς Εὔδοξος καὶ Ἀρτεμίδωρος. — — Ἀγάθ η· πόλις Λιγύων ἢ Κελτῶν .

359 .. Ἔστι δὲ καὶ ἄλλη πόλις, ὡς Φίλων (FGrHist. 790 F 19), Λιγυστίων ἐπὶ λίμνης Λιγυστίας· τάχα δ’ ἡ αὐτή ἐστι τῇ πρώτῃ, ὡς Εὔδοξος. Βαρύνεται δέ. SCHOL.

360 EUR. Tro. 221 Ἔστι δὲ ἡ Καρχηδὼν πόλις Λιβύης. Ὀλίγῳ δὲ πρότερον τῶν Τρωϊκῶν Εὔδοξος ὁ Κνίδιός 〈φησιν〉 ἀπῳκηκέναι τοὺς Τυρίους εἰς αὐτὴν Ἀζάρου καὶ Καρχηδόνος ἡγουμένων, ἀφ’ οὗ καὶ τὴν ὀνομασίαν ἔσχεν ἡ πόλις. HESYCH.

361a Lex. Βοῦς Κύπριο ς· κοπροφάγος, εἰκαῖος, ἀκάθαρτος. Σημαίνει δὲ ἀτοπίαν τῶν Κυπρίων. Καὶ Εὔδοξος ἀφηγεῖται ὅτι κοπροφαγοῦσιν. DIOGENIAN.

361b Prov. codd. Bodl. Vat. ap. Th. Gaisford, Paroemiogr. gr. p. 21 (= DIOGEN. III 49 adn. ap. Leutsch—Schneidewin, Corp. Paroemiogr. gr. t. I) Βοῦς Κύπριος ε ἶ· ἀντὶ τοῦ σκατοφάγος. Εὔδοξος γὰρ περὶ τούτων ἱστορεῖ ὅτι κοπροφάγοι εἰσίν. CALL.

362 fr. 407 I Pfeiffer (ex ANTIG. Hist. mir. 129) Ἡ δὲ κατὰ Χελιδονίας ὅτι ἐπὶ πολὺν τόπον ἔχει γλυκείας πηγάς. — —407 XXXIII (— —161) Εἶναι δὲ παρὰ τοῖς Κῴοις καὶ ἄλλο τι ῥευμάτιον, ὃ πάντας τοὺς ὀχετοὺς ὅθεν διαρρεῖ λίθους πεποίηκεν.

363 Τοῦτο δὲ καὶ Εὔδοξος καὶ Καλλίμαχος παραλείπουσιν, ὅτι ἐκ τοῦδε τοῦ ὕδατος οἱ Κῷοι λίθους λατομήσαντες ᾠκοδόμησαν τὸ θέατρον· οὕτως ἰσχυρῶς ἀπολιθοῦται πᾶν γένος. STRAB.

365 Geogr. X 4 2 Νυνὶ δὲ περὶ τῆς Κρήτης πρῶτον λέγωμεν. Εὔδοξος μὲν οὖν ἐν τῷ Αἰγαίῳ φησὶν αὐτὴν ἱδρῦσθαι. CALL.

366 fr. 407 XXXV Pfeiffer (ex ANTIG. Hist. mir 163) Καὶ περὶ τοῦ κατὰ τὴν Κρήτην ὑδατίου, οὗ οἱ ὑπερκαθίζοντες, ὅταν ὑετὸς ᾖ, διατελοῦσιν ἄβροχοι, παραδεδόσθαι δὲ τοῖς Κρησὶν ἀπ’ ἐκείνου λούσασθαι τὴν Εὐρώπην ἀπὸ τῆς τοῦ Διὸς μίξεως. THEOPHR.

367

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Hist. plant. I 9 5 Ἐν Κρήτῃ δὲ λέγεται πλάτανόν τινα εἶναι ἐν τῇ Γορτυναίᾳ πρὸς πηγῇ τινι ἣ οὐ φυλλοβολεῖ· μυθολογοῦσι δὲ ὡς ὑπὸ ταύτῃ ἐμίγη τῇ Εὐρώπῃ ὁ Ζεύς· τὰς δὲ πλησίας πάσας φυλλοβολεῖν. CALL.

368 fr. 407 XXV Pfeiffer (ex ANTIG. Hist. mir. 153) Ἐκ δὲ τῆς ἐν Ζακύνθῳ λίμνης φησὶν Εὔδοξον ἱστορεῖν ὅτι ἀναφέρεται πίσσα, καίτοι παρεχούσης αὐτῆς ἰχθῦς. Ὅ τι δ’ ἂν ἐμβάλῃς εἰς ταύτην ἐπὶ θαλάττης φαίνεσθαι τεττάρων ὄντων ἀνὰ μέσον σταδίων. STEPH.

370 BYZ. Ethn. Καλὴ ἀκτ ή· πόλις 〈Σικελῶν〉. Εὔδοξος τετάρτῳ Γῆς Περιόδου· «Ἔστι δὲ Μεγάλη κώμη.» Ἐκ τῶν δύο δὲ ἡ παραγωγὴ Μεγαλοκωμήτης Καλακτίτης ἢ Καλοακτίτης διὰ τοῦ ι . DIOG. [5]

371 LAERT. I 29 Εὔδοξος δ’ ὁ Κνίδιος καὶ Εὐάνθης ὁ Μιλήσιός (FHG III 2 adn.) φασι τῶν Κροίσου τινὰ φίλων λαβεῖν παρὰ τοῦ βασιλέως ποτήριον χρυσοῦν, ὅπως δῷ τῷ σοφωτάτῳ τῶν Ἑλλήνων· τὸν δὲ δοῦναι Θαλῇ. Καὶ περιελθεῖν εἰς Χείλωνα, (30) ὃν πυνθάνεσθαι τοῦ Πυθίου τίς αὐτοῦ σοφώτερος· καὶ τὸν ἀνειπεῖν Μύσωνα, περὶ οὗ λέξομεν. Τοῦτον οἱ περὶ τὸν Εὔδοξον ἀντὶ Κλεοβούλου τιθέασι, Πλάτων δ’ ἀντὶ Περιάνδρου (Protag. 343 A). AENEAS GAZ. [5]

372 Theophr. p. 71 Boissonade Ὑμεῖς γὰρ εἰ τὸν Γλαῦκον τὸν Μίνωος ἀποπνιγέντα τῷ μέλιτι Πολύειδος ὁ μάντις ἐξ Ἄργους εἰς Κρήτην ἀφικόμενος ἀναστῆσαι λέγοιτο παρὰ τοῦ δράκοντος μαθὼν τὴν πόαν, ἀβασανίστως δέχεσθε. Καὶ ὅτι τὸν Ἱππόλυτον ὁ Ἀσκληπιὸς ἢ τὸν Τυνδάρεων (λέγεται γὰρ καὶ τοῦτο), καὶ ὡς τὴν Ἄλκηστιν Ἡρακλῆς καὶ τὸν Θησέα καὶ Τίμωνα Λυδὸν καὶ Τιμοσθένην τὸν Ἀθηναῖον, Εὐδόξῳ τὰ τοιαῦτα συγγράφοντι πείθεσθε. Dubium SCHOL. [5]

373 P. OXY. 2389 fr. 6 I 16 in Alcman. fr. 1 v. 59 Diehl (ἵππος Ἰβηνῷ Κολαξαῖος δραμήται) Περὶ δὲ τῶ[ν ....... ]ων [Εὔδοξο]ς ὁ Κν[ίδι]ος δια[σαφεῖ ὅτι ... ]νεαμ[ ............ ]διοις γρ[άφων .... ]δε· «Π[ερὶ δὲ] τὸν πόντον τοῦτο[ν ... ΚΥΝΩΝ ΔΙΑΛΟΓΟΙ Φησὶ δ’ αὐτὸν Ἐρατοσθένης ἐν τοῖς Πρὸς Βάτωνα (p.

374 202 Bernhardy) καὶ Κυνῶν διαλόγους συνθεῖναι· οἱ δὲ γεγραφέναι μὲν Αἰγυπτίους τῇ αὑτῶν φωνῇ, τοῦτον δὲ μεθερμηνεύσαντα ἐκδοῦναι τοῖς Ἕλλησι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org